Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: szc-ab

*Μαρκιανὸς ὁ Ἡρακλεώτης* · Marcian of Heraclea

# Periplus of the Outer Sea

*Περίπλους τοῦ Ἐξωτερικοῦ Πελάγους*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Γεωγραφία* Geography
**Format:** *Πεζός* Prose

1 T ΜΑΡΚΙΑΝΟΥ ΗΡΑΚΛΕΩΤΟΥ ΤΟΥ ΠΟΝΤΟΥ ΠΕΡΙΠΛΟΥΣ ΤΗΣ ΕΞΩ ΘΑΛΑΣΣΗΣ, ΕΩιΟΥ ΚΑΙ ΕΣΠΕΡΙΟΥ, ΚΑΙ ΤΩΝ ΕΝ ΑΥΤΗι ΜΕΓΙΣΤΩΝ ΝΗΣΩΝ. ΤΩΝ ΕΙΣ ΔΥΟ ΤΟ ΠΡΟΤΕΡΟΝ. ΥΠΟΘΕΣΙΣ.

1 A Τάδε ἔνεστιν ἐν τῷ πρώτῳ Μαρκιανοῦ περίπλῳ τῷ τοῦ ἑῴου καὶ μεσημβρινοῦ ὠκεανοῦ. Προοίμιον. Τῶν δεξιῶν μερῶν τοῦ τε Ἀραβίου κόλπου καὶ τῆς Ἐρυθρᾶς θαλάσσης καὶ τοῦ Ἰνδικοῦ πελάγους περίπλους. Τῶν ἀριστερῶν μερῶν τοῦ τε Ἀραβίου κόλπου καὶ τῆς Ἐρυθρᾶς θαλάσσης καὶ τοῦ Ἰνδικοῦ πελάγους περίπλους. Τὰ δὲ κατὰ μέρος οὕτως ἔχει· Τοῦ Ἀραβίου κόλπου καὶ τῶν ἀριστερῶν μερῶν τῶν παρὰ τὴν Εὐδαίμονα Ἀραβίαν περίπλους. Σουσιανῆς περίπλους. Περσίδος περίπλους. Καρμανίας περίπλους. Γεδρωσίας περίπλους. Ἰνδικῆς τῆς ἐντὸς Γάγγου ποταμοῦ καὶ τῶν ἐν αὐτῇ κόλπων καὶ νήσων περίπλους. Ταπροβάνης νήσου περίπλους. Τοῦ Γαγγητικοῦ κόλπου περίπλους. Ἰνδικῆς τῆς ἐκτὸς Γάγγου ποταμοῦ καὶ τῶν ἐν αὐτῇ κόλπων περίπλους. Σινῶν καὶ τῶν ἐν αὐτοῖς κόλπων περίπλους. Τοῦ Θηριώδους κόλπου περίπλους. Τοῦ τῶν Σινῶν κόλπου περίπλους. Ἀνακεφαλαίωσις τῶν προειρημένων ἁπάντων διαστημάτων. ΠΡΟΟΙΜΙΟΝ.

1 1 [Τῆς μὲν ἐντὸς τῶν Ἡρακλείων στηλῶν] κειμένης θαλάσσης, ἣν ὁ περιέχων τὴν γῆν ὠκεανὸς [πρὸς] ἑσπέρας ἐπιτελεῖ, κατὰ τὸν καλούμενον Ἡράκλειον πορθμὸν τὴν εἰσροὴν ποιούμενος Ἀρτεμίδωρος ὁ Ἐφέσιος γεωγράφος ἐν τοῖς ἕνδεκα τῆς γεωγραφίας βιβλίοις τὸν περίπλουν, ὡς ἂν ἦν μάλιστα δυνατὸν, συνέγραψεν, ἡμεῖς δὲ τῶν βιβλίων τούτων τὰς περιττὰς τοῦ μνημονευθέντος ἀνδρὸς παρεκβάσεις, προσέτι δὲ βαρβάρων Αἰθιοπικὰς πόλεις ἀφέντες, ἐν ἐπιτομῇ σαφέστατα μετ' ἀκριβοῦς [τῶν] ἐφευρεθέντων προσθήκης τὸν περίπλουν ἐποιησάμεθα, ὡς μηδὲν ἐνδεῖν πρὸς τελειοτάτην σαφήνειαν τοῖς περὶ τοῦτο τὸ μέρος τῆς γεωγραφίας σπουδάζουσι. Τῶν [δὲ] ὠκεανῶν ἑκατέρων τοῦ τε ἑῴου καὶ τοῦ ἑσπερίου (ὧν τὴν εἴδησιν, ἐς ὅσον ἐφικτὸν ἀνθρώποις, ἡ τῶν πολλῶν σπουδὴ καὶ φιλομαθία σαφῆ κατέστησεν) ἐκ τῆς γεωγραφίας τοῦ θειοτάτου καὶ σοφωτάτου Πτολομαίου ἔκ τε τῆς Πρωταγόρου τῶν σταδίων ἀναμετρήσεως, ἣν τοῖς οἰκείοις τῆς γεωγραφίας βιβλίοις προστέθεικεν, ἔτι μὴν καὶ ἑτέρων πλείστων ἀρχαίων ἀνδρῶν, τὸν περίπλουν ἀναγράψαι προειλόμεθα ἐν βιβλίοις δυσὶ, τὸν μὲν ἑῷον καὶ μεσημβρινὸν ὠκεανὸν ἐν τῷ προτέρῳ βιβλίῳ, τὸν δ' ἑσπέριον καὶ τὸν ἀρκτῷον ἐν τῷ δευτέρῳ, ἅμα ταῖς ἐν αὐτοῖς κειμέναις μεγίσταις νήσοις, τῇ τε Ταπροβάνῃ καλουμένῃ, τῇ Παλαισιμούνδου λεγομένῃ πρότερον, καὶ ταῖς Πρεττανικαῖς ἀμφοτέραις νήσοις· ὧν τὴν μὲν πρώτην κατὰ [τὸ] μεσαίτατον τοῦ Ἰνδικοῦ πελάγους κεῖσθαι συνέστηκε, τὰς δ'

ἑτέρας δύο ἐν τῷ ἀρκτῴῳ ὠκεανῷ. Εἰδὼς δὲ καὶ ἑτέρους τῶν παλαιῶν περὶ τὴν τοιαύτην σπουδάσαντας ὑπόθεσιν, καὶ τοὺς μὲν μερικάς τινας ποιησαμένους τὰς διηγήσεις, τοὺς δὲ καὶ πλειόνων ἁψαμένους τόπων· πολλὴν ἐθέμην φροντίδα, μηδενὸς τούτων ὀφθῆναι δεύτερος, τὴν ἀκρίβειαν τῶν ῥηθησομένων τῆς ἡμετέρας περὶ τοῦτο σπουδῆς ἐναργὲς ἐλπίσας ἔσεσθαι γνώρισμα.

1 2 Τούτου δὴ χάριν καὶ τὴν αἰτίαν τῆς γινομένης περὶ τὴν ἀναμέτρησιν τῶν σταδίων διαφωνίας ᾠήθην δεῖν παραστῆσαι τοῖς ἐντευξομένοις· τῆς γὰρ τοιαύτης ὑποθέσεως τὸ ἀκριβὲς οὐκ ἐν ταῖς θέσεσι τῶν τόπων μόνον καὶ πόλεων καὶ νήσων καὶ λιμένων ἐχούσης, ἀλλὰ πρό γε πάντων ἐν τοῖς σταδίοις καὶ ταῖς τῶν χωρίων διαμετρήσεσιν, ἀκόλουθον οἶμαι λόγον ἐρεῖν, καὶ τοῖς βουλομένοις κατὰ φύσιν σκοπεῖν τὴν ἐν τῷ περίπλῳ τῆς θαλάττης ἀναμέτρησιν ἀληθῆ φανησόμενον, καίτοιγε τῶν περὶ τούτων σπουδασάντων οὐδενὸς ἐπισημηναμένου τοῦτο, ἀλλ’ ὥσπερ σχοινίῳ διαμεμετρημένης τῆς θαλάττης, οὕτω τὸν ἀριθμὸν τῶν σταδίων ἀπαγγειλάντων. Φημὶ δὴ οὐκ ἐν ἅπασι τοῖς τῆς θαλάττης μέρεσι ῥᾴδιον εἶναι τὸν τῶν σταδίων ἀριθμὸν πρὸς τὸ ἀκριβέστατον ἀνευρεῖν· ἀλλ’ εἰ μὲν ἠών τις εὐθεῖα τυγχάνει, μήτε κοιλότητας μήτε ἐξοχὰς ἔχουσα, τοῦ παρὰ ταύτην γινομένου πλοῦ τὴν ἀναμέτρησιν ὡς ἐπίπαν ῥᾳδίαν εἶναι· τῶν δὲ κόλπων καὶ τῶν ἀκρωτηρίων ἤτοι χερρονήσων τὸν περίπλουν οὐ δυνατὸν ἀκριβῆ παραστῆσαι. Οὐ γὰρ καθ’ ὡμολογημένων τόπων, ὥσπερ ἐπὶ τῆς γῆς διὰ τῶν λεωφόρων τὴν ὁδοιπορίαν ποιοῦνται, οὕτω κἀπὶ τῆς θαλάσσης τὸν πλοῦν ἀνύουσιν. Ὑποκείσθω γὰρ λόγου χάριν κόλπος κατὰ τὸν αἰγιαλὸν αὐτὸν ἐν περιγραφῇ σταδίων ρʹ ὑπάρχων· τοῦτον εἰ μέν τις πλησίον καὶ παρ’ αὐτὴν τὴν ἠόνα περιπλέοι, ἐλάττονας μὲν εὑρήσει σταδίους τοῦ κατ’ αὐτὸν τὸν αἰγιαλὸν βαδίζοντος, τῆς δὲ ἀληθείας οὐ πολὺ διαμαρτήσει· εἰ δέ τις ἐνδοτέρω περιπλεύσειε τὸν αὐτὸν κόλπον, ἥττονας τοῦ παρὰ τὸν αἰγιαλὸν πλεύσαντος εὑρήσει σταδίους, καὶ τοῦτο τοσαυτάκις ἂν εὕροι, ὁσάκις ἂν εἰς βραχύτερον περιάγοι τοῦ περίπλου τὸν κύκλον. Ὥσπερ γὰρ ἐπὶ τῶν περιφερειῶν εἴ τις μετὰ τὴν ἔξωθεν γραμμὴν ἑτέραν ἔνδοθεν περιγράψειε περιφέρειαν τὰ αὐτὰ πέρατα ἔχουσαν, καὶ πάλιν ἄλλην καὶ μετ’ ἐκείνην ἑτέραν, ἡ δευτέρα περιφέρεια ἐλάττων εὑρεθήσεται τῆς προτέρας, καὶ πάλιν ἡ τρίτη τῆς δευτέρας, ὁμοίως καὶ ἡ τετάρτη τῆς τρίτης, καὶ ἀκολούθως οὕτω γινόμεναι δεικνύοιντο ἄν, εἴ τις ἐφεξῆς τοῦτο ποιοίη· οὕτω καὶ ἐπὶ τῶν κόλπων, καθάπερ ἔν τινι περιγραφῇ περιφερειῶν, ἔξεστι τοῖς περιπλέουσι καὶ διὰ πλειόνων σταδίων ποιεῖσθαι τὸν πλοῦν, καὶ δι’ ἐλαττόνων. Τοῦτο δὲ καὶ ἐκ τῶν διάπλων σαφὲς ἂν κατασταίη. Εἰ γάρ τις μὴ περιπλεῖν ἐθέλοι τὸν κόλπον, ἀλλὰ διαπλεῖν ἐπ’ εὐθείας, βραχύτατος ἂν ὁ διάπλους ὀφθείη, ὥστ’ εἰκότως ἐπὶ τῇ τῶν περιπλεόντων κεῖσθαι γνώμῃ τὸν ἀριθμὸν τῶν σταδίων ἐν τοῖς κόλποις καὶ τοῖς ἀκρωτηρίοις.

1 2 (50) Διὰ δὴ τοῦτο συμβαίνει τοὺς μὲν ἄλλως ἀναμετρῆσαι, τοὺς δὲ ἑτέρως. Ἄξιον οὖν συγγνώμης τὸ περὶ τὸν ἀριθμὸν τῶν σταδίων εὑρισκόμενον πταῖσμα, πλὴν εἰ μή που παρὰ πολὺ τοῦτο γίνοιτο, ἐπεὶ καὶ ἄλλως παρὰ πᾶσιν ὡς ἐπὶ τὸ πλεῖστον τοῖς παλαιοῖς, ὅσοι περίπλους γεγράφασιν, ἐπὶ πασῶν τῶν θαλαττῶν τὸν τῶν σταδίων ἀριθμὸν οὐκ ἄν τις εὕροι συνᾴδοντα. Τῆς δὲ τοιαύτης διαφωνίας τὰς αἰτίας μακρὸν ἂν εἴη λέγειν. Οὕτω δὲ τούτων ἐχόντων, ἐθνῶν μὲν καὶ πόλεων παραθαλαττίων καὶ ἐπινείων ..... .

1 3 .. τὴν ἑσπέραν εἰσέχει ἀπὸ τοῦ καλουμένου Ἀτλαντικοῦ πελάγους τὴν εἰσροὴν ἔχουσα, καὶ ἐπὶ πολὺ χωρεῖ εἴσω τῆς γῆς, ὡς πρὸς τὰς ἀνατολὰς μέχρι τοῦ Ἰσσικοῦ κόλπου, ὅς ἐστιν ἐν τῷ Κιλικίῳ ἔθνει. Ἔστι δ’ ὁ εἴσπλους αὐτῆς στενώτατος κατὰ τὰς λεγομένας Ἡρακλέους στήλας ἤτοι [τὸν] Ἡράκλειον πορθμὸν, σταδίων ὑπάρχων πʹ, καὶ τοῦτό ἐστι τοῦ κόλπου τούτου ἤτοι τῆς θαλάττης τὸ στόμα· ἑτέρωθεν γὰρ οὐκ ἄν τις ἐκπλεύσειεν ἀπὸ τῆς ἔσω θαλάσσης εἰς τὸν ὠκεανὸν πλὴν διὰ τοῦ εἰρημένου Ἡρακλείου πορθμοῦ. Ἐκτείνεται δὲ ἡ καθ’ ἡμᾶς αὕτη θάλασσα καὶ μέχρι τῆς Αἰγύπτου, ἥτις ὑπόκειται τῇ μεσημβρίᾳ, ὡς ἀντικεῖσθαι τῷ Ἀραβίῳ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κόλπῳ τὸ καθ’ ἡμᾶς καλούμενον Αἰγύπτιον πέλαγος, καὶ γίνεσθαι μέγαν ἰσθμὸν τὴν μεταξὺ γῆν τοῦ τε Ἀραβίου κόλπου καὶ τῆς καθ’ ἡμᾶς κατὰ τοῦτο τὸ μέρος θαλάσσης. Τὸν μὲν οὖν περίπλουν τῆς θαλάττης ταύτης διὰ τῆς ἐπιτομῆς τῶν ια′ βιβλίων Ἀρτεμιδώρου τοῦ γεωγράφου σαφῆ κατεστήσαμεν, ὡς προείρηται· τῶν δὲ ἔξω θαλασσῶν ἤτοι ὠκεανῶν ἑῴου καὶ ἑσπερίου, οἰκεῖον ὑποστάντες πόνον, τὸν περίπλουν ἀναγράψαι προειλόμεθα. Ἐρατοσθένης μὲν ὁ Κυρηναῖος τὴν μεγίστην περιφέρειαν τῆς (ἐγνωσμένης) ἁπάσης γῆς εἶναι λέγει σταδίους Μ κε′ καὶ ͵θς.

14 Οὕτω δὲ καὶ Διονύσιος ὁ τοῦ Διογένους ἀναμεμέτρηκεν. Πτολομαῖος δὲ ὁ θειότατος, τῇ μὲν πείρᾳ καὶ ἀληθεῖ παιδεύσει πρεσβύτερος, τοῖς δὲ χρόνοις Ἐρατοσθένους νεώτερος, σταδίων Μ ιη′ τὴν γῆν ἀπέδειξεν εἶναι, καὶ τοῦ μὲν πλάτους εἶναι τῆς γῆς συνέστηκεν π′ μοίρας μεσημβρινὰς, τοῦ δὲ μήκους ρπ′. Ἐν τούτῳ δὲ τῷ μέτρῳ περιέχεται ἡ οἰκουμένη εἰς τρεῖς διαιρεθεῖσα τομὰς ἠπείρων, εἴς τε Ἀσίαν καὶ Λιβύην καὶ Εὐρώπην, ὥσπερ ἅπασιν ἔγνωσται. Τὴν μὲν οὖν Εὐρώπην ἀπὸ τῆς Λιβύης διορίζει τὸ κατὰ Γάδειρα στόμα τοῦ ὠκεανοῦ, ὅπερ Ἡράκλειον καλοῦσι πορθμὸν, δι’ οὗ τὴν εἰσροὴν τὸν ὠκεανὸν εἰς τὴν ἡμετέραν ποιεῖσθαι θάλασσαν προείπομεν· καὶ πάλιν ὁ Τάναϊς ποταμὸς (ὅστις) τὴν Εὐρώπην ἀπὸ τῆς Ἀσίας ὁμοίως κατὰ τὸ ἀρκτῷον διορίζει μέρος, εἰς τὴν Μαιῶτιν ἐκβάλλων λίμνην, ἥτις εἰς τὸν Πόντον ἐξίησι τὸν καλούμενον Εὔξεινον. Τὴν δὲ Λιβύην σὺν τῇ Ἀσίᾳ διορίζει ἀπὸ μὲν τῆς Εὐρώπης ὁ προειρημένος Ἡράκλειος πορθμὸς, ἀπὸ δὲ τῆς Ἀσίας τὸ καλούμενον Κανωβικὸν τοῦ Νείλου στόμα· τὴν δὲ Ἀσίαν πρὸς μὲν τὴν Εὐρώπην διορίζει ὁ προειρημένος Τάναϊς ποταμὸς, πρὸς δὲ τὴν Λιβύην τὸ πορρηθὲν Κανωβικὸν τοῦ Νείλου στόμα, καθὰ προειρήκαμεν. Ἡ τοίνυν καθ’ ἡμᾶς θάλασσα καὶ συνάπτουσα τῷ δυτικῷ ὠκεανῷ διὰ τοῦ Ἡρακλείου πορθμοῦ, περιγράφει τὰς τρεῖς ἠπείρους τόνδε τὸν τρόπον. Τῆς μὲν Εὐρώπης, περιπλεομένων τῶν κατ’ αὐτὴν κόλπων ἐν τῇ καθ’ ἡμᾶς θαλάσσῃ, ἡ παράλιος χώρα τὴν ἀρχὴν ἔχει ἀπὸ τοῦ Ταναΐδος ποταμοῦ καὶ καταλήγει ἐπὶ τὸν Ἡράκλειον πορθμὸν καὶ τὰ Γάδειρα τὴν νῆσον· καὶ ἔστιν ὁ σύμπας αὐτῆς περίπλους σταδίων Μ ϛ′ καὶ ͵θ.

15 Τῆς δὲ Λιβύης ἀπὸ Τίγγεως πόλεως μέχρι τοῦ Κανωβικοῦ τοῦ Νείλου στόματος ὁ παράπλους ἐστὶ σταδίων Μ γ′ καὶ σπ′. Τῆς δὲ Ἀσίας σὺν τῇ Αἰγύπτῳ ἀπὸ τοῦ Κανωβικοῦ τοῦ Νείλου στόματος μέχρι τοῦ ποταμοῦ τοῦ Ταναΐδος ὁ παράπλους ἐστὶ σταδίων Μ δ′ καὶ ρκ′. Ἡ τοίνυν σύμπασα χώρα παράλιος τῆς θαλάσσης τῆς καθ’ ἡμᾶς ἐστιν, ἥ τε τῆς Εὐρώπης καὶ τῆς Λιβύης καὶ τῆς Ἀσίας, σταδίων Μ ιγ′ ͵θυ′. Ἔστι δὲ πρώτη μὲν τῶν ἠπείρων μεγέθους ἕνεκεν ἡ Ἀσία, δευτέρα δὲ ἡ Λιβύη, τρίτη δὲ ἡ Εὐρώπη.

16 Τῶν δὲ τριῶν θαλασσῶν τῷ μεγέθει τυγχάνει πρώτη μὲν ἡ κατὰ τὸ Ἰνδικὸν πέλαγος· δευτέρα δὲ ἡ καθ’ ἡμᾶς ἡ μεταξὺ Λιβύης καὶ Εὐρώπης, ἀρχομένη μὲν ἀπὸ Γαδείρων ἤτοι τοῦ Ἡρακλείου πορθμοῦ, διήκουσα δὲ μέχρι τῆς Ἀσίας· τρίτη δὲ ἡ Ὑρκανία. Μέγεθος δὲ τῆς οἰκουμένης, τὸ μὲν ἀπὸ ἀνατολῆς ἐπὶ δύσιν ἀναμεμέτρηται σταδίων Μ ζ′, ͵ηφμε′· τοῦτο δέ ἐστι τὸ ἀπὸ Γάγγου ποταμοῦ ἐκβολῶν, τοῦ ἐν Ἰνδοῖς ἀνατολικωτάτου ποταμοῦ, ἐπὶ τὸ δυτικώτατον τῆς ὅλης οἰκουμένης ἀκρωτήριον, ὃ καλεῖται μὲν Ἱερὸν ἄκρον, τῆς δὲ Ἰβηρίας ἐστὶ τῶν Λυσιτανῶν ἔθνους. Τοῦτο δὲ Γαδείρων ἤτοι τῶν Ἡρακλέους στηλῶν δυτικώτερον τυγχάνει ὡς σταδίους ͵γ. Τοῦ δὲ πλάτους ἡ εὐθεῖα, ᾗ πλατυτάτη τυγχάνει οὖσα, ἀναμεμέτρηται Μ δ′, ͵γ ξ′· τοῦτο δέ ἐστι τὸ ἀπὸ μεσημβρίας ἐπὶ τοὺς ἄρκτους, οἷον ἀπὸ τῆς Αἰθιοπικῆς θαλάσσης μέχρι Θούλης τῆς νήσου. Τῶν δὲ μεγίστων κόλπων πρῶτος μέν ἐστιν ὁ Γαγγητικὸς, δεύτερος δὲ ὁ Περσικὸς, τρίτος δὲ ὁ καλούμενος οὕτω Μέγας, τέταρτος δὲ ὁ Ἀράβιος, πέμπτος δὲ ὁ Αἰθιοπικὸς, ἕκτος δὲ ὁ τοῦ Πόντου, ἕβδομος δὲ ὁ τοῦ Αἰγαίου πελάγους, ὄγδοος δὲ ὁ τῆς Μαιώτιδος λίμνης, ἔννατος δὲ ὁ Ἀδρίας ἤτοι Ἰόνιος κόλπος, δέκατος δὲ ὁ τῆς Προποντίδος.

18

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Τῶν δὲ μεγίστων νήσων ἢ χερσονήσων, καὶ τῆς πρώτης τάξεως, πρώτη μὲν ἡ Ταπροβάνη νῆσος ἡ Παλαισιμούνδου καλουμένη πρότερον, νῦν δὲ Σαλική· δευτέρα δὲ τῶν Πρεττανικῶν ἡ Ἀλβίων, τρίτη δὲ ἡ Χρυσῆ χερσόνησος, τετάρτη δὲ τῶν Πρεττανικῶν ἡ Ἰουερνία, πέμπτη δὲ ἡ Πελοπόννησος, ἕκτη δὲ [ἡ] Σικελία, ἑβδόμη δὲ ἡ Σαρδὼ, ὀγδόη δὲ [ἡ] Κύρνος, ἐννάτη [ἡ] Κρήτη, δεκάτη [ἡ] Κύπρος. Καὶ ταῦτα μὲν ἐπὶ τοσοῦτον· ἐπὶ δὲ τὰ προκείμενα μεταβησόμεθα. Ἀρξόμεθα δὲ τοῦ περίπλου, καθὰ προειρήκαμεν, ἀπὸ τοῦ Ἀραβίου κόλπου καὶ τοῦ μυχοῦ αὐτοῦ, [τοῦ] καλουμένου Αἰλανίτου, ἔνθα μάλιστά ἐστιν, ὡς προείρηται, καὶ τὸ στενώτατον τῆς ἠπείρου, καὶ διεῖργον τὸ μὴ συνάψαι τὴν καθ' ἡμᾶς θάλασσαν τῷ Ἀραβίῳ μυχῷ.

1 9 Οὗτος δὲ ὁ μυχὸς γειτνιῶν τυγχάνει τῇ τε Αἰγύπτῳ καὶ τῇ Πετραίᾳ καλουμένῃ Ἀραβίᾳ, ἥτις τῇ λεγομένῃ Ἰουδαίᾳ συνάπτει, ἧς Παλαιστίνη τὸ ἔθνος ἐστὶ πρὸς τῇ καθ' ἡμᾶς κείμενον θαλάσσῃ. Ἔστι γὰρ ἀπὸ Γάζης τῆς ἐν Παλαιστίνῃ πόλεως ἐπὶ τὸν μυχὸν τοῦ Ἀραβίου κόλπου, (καὶ) τὸν προειρημένον Ἀΐλαν, πεζῇ πρὸς τὴν μεσημβρίαν τῆς πορείας γινομένης, στάδια ͵ασξ ′. Τῶν μὲν οὖν ἀριστερῶν τῆς Ἀσίας μερῶν, τουτέστι τῆς τε Ἀραβίας τῆς Εὐδαίμονος καὶ τῆς Ἐρυθρᾶς θαλάσσης καὶ μετ' ἐκείνην τοῦ Περσικοῦ κόλπου καὶ τοῦ Ἰνδικοῦ πελάγους παντὸς ἄχρι τοῦ Σινῶν (τοῦ) ἔθνους καὶ τοῦ πέρατος τῆς ἐγνωσμένης γῆς τὸν ἀκριβέστατον ποιησόμεθα περίπλουν καὶ τὴν τῶν σταδίων ἀναμέτρησιν.

1 10 Τῶν δὲ δεξιῶν τῶν τῆς Λιβύης μερῶν μέχρι τοῦ καλουμένου Πράσου ἀκρωτηρίου καὶ τῆς Μενουθιάδος νήσου τὰς μὲν προσηγορίας τῶν πόλεων καὶ τῶν ἐπινείων δηλώσομεν, ἔτι μὴν τῶν θαλασσῶν καὶ τῶν κόλπων καὶ τῶν ἀκρωτηρίων, καὶ τῶν νήσων τὰς ὀνομασίας σημανοῦμεν· διὰ μακροῦ δὲ τοῖς διαστήμασι τὸν ἀριθμὸν τῶν σταδίων προσθήσομεν. Τούτων μὲν γὰρ τῶν δεξιῶν μερῶν ἐπιδρομή ἐστιν ἃ τῆς ἀναμετρήσεως πεποιήμεθα σαφῆ, μιᾶς ἕνεκα τῆς θέσεως τῆς τε γῆς καὶ τῆς θαλάσσης, ἥνπερ ἔχει πρὸς τὰς ἀντιπέρα τῆς Ἀσίας χώρας, τουτέστι τῶν τε Ἀράβων καὶ τῶν Ἰνδῶν καὶ τῶν ἄλλων ἐθνῶν· τῶν δὲ ἀριστερῶν μερῶν μετὰ τῆς προειρημένης ἐπαγγελίας τὸν περίπλουν σπουδῇ ἐποιησάμεθα. ΤΩΝ ΔΕΞΙΩΝ ΜΕΡΩΝ ΤΟΥ ΤΕ ΑΡΑΒΙΟΥ ΚΟΛΠΟΥ ΚΑΙ ΤΗΣ ΕΡΥΘΡΑΣ ΘΑΛΑΣΣΗΣ ΚΑΙ ΤΟΥ ΙΝΔΙΚΟΥ ΠΕΛΑΓΟΥΣ ΠΕΡΙΠΛΟΥΣ.

1 11 Ἡ τοίνυν θέσις καὶ περιγραφὴ τῶν δεξιῶν τῆς Λιβύης μερῶν τοῦτον ἔχει τὸν τρόπον (χρὴ γὰρ πρὸ τῶν κατὰ μέρος τὰς καθόλου προσηγορίας καὶ τὴν θέσιν δηλῶσαι τῶν τόπων)· πλέοντι γὰρ τὸν Ἀραβικὸν κόλπον ὡς πρὸς μεσημβρίαν, μετρίως πρὸς τὴν ἕω παρεπιστρέφοντι, καὶ δεξιὰν ἔχοντι τὴν ἤπειρον πρώτη μέν ἐστιν ἡ Αἴγυπτος, μέρει τινὶ γειτνιῶσα τῷ κόλπῳ (τούτῳ δὲ παροικοῦσιν Ἀραβαιγύπτιοι Ἰχθυοφάγοι)· μετὰ δὲ ταύτην ἡ Τρωγλοδυτικὴ ἐπὶ πλεῖστον ἐκτεινομένη· παρήκει γὰρ παρά τε αὐτὸν τὸν Ἀράβιον κόλπον καὶ παρὰ τὴν Ἐρυθρὰν θάλασσαν· μετὰ δὲ τὸ στόμα τοῦ Ἀραβίου κόλπου ἑξῆς ἐστιν ἡ Ἐρυθρὰ θάλασσα. Περιπλέοντι τοίνυν ταύτην καὶ ὁμοίως ἐν δεξιᾷ τὴν γῆν ἔχοντι ἐκδέχεται μὲν ὁ Αὐαλίτης κόλπος ἐν τοῖς δεξιοῖς μέρεσι τῆς Ἐρυθρᾶς τυγχάνων θαλάσσης, παροικοῦσι δὲ τούτῳ οἵ τε προειρημένοι Τρωγλοδύται καὶ οἱ Αὐαλῖται καὶ προσέτιγε οἱ Μόσσυλοι τὰ ἔθνη. Ἐκπλεύσαντι δὲ τὸν κόλπον καὶ τὴν Ἐρυθρὰν θάλασσαν, ἠρέμα πως μετὰ τὸν κόλπον κατὰ τὸ ἀκρωτήριον στενουμένην, ἐκδέχεται τὸ Ἰνδικὸν πέλαγος ἀναπεπταμένον ἐπὶ πολὺ καὶ τῷ μὲν μήκει διῆκον πρὸς τὴν ἕω καὶ τὰς ἀνατολὰς τοῦ ἡλίου μέχρι Σινῶν τοῦ ἔθνους, ὅπερ ἐπὶ τέλει τῆς οἰκουμένης τυγχάνει κείμενον κατὰ τὴν πρὸς ταῖς ἀνατολαῖς ἄγνωστον γῆν, τῷ δὲ πλάτει πρὸς μεσημβρίαν ἀναχεόμενον ἐπὶ πλεῖστον, μέχρι τῆς ἑτέρας ἀγνώστου γῆς τῆς κατὰ τὴν μεσημβρίαν ὑπαρχούσης, καθ' ἣν καὶ ἡ Πρασώδης καλουμένη διατείνει θάλασσα παρ' ὅλην τὴν μεσημβρινὴν ἄγνωστον γῆν μέχρι τῆς ἕω, τοῦ μὲν Ἰνδικοῦ πελάγους ὑπάρχουσα, ταύτην δὲ διὰ τὴν χροιὰν λαχοῦσα τὴν προσηγορίαν.

1 13 [6N]

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Μετὰ τὴν Ἐρυθρὰν τοίνυν θάλασσαν κάμψαντι πρὸς τὴν μεσημβρίαν καὶ ὁμοίως ἐν δεξιᾷ τὴν γῆν ἔχοντι, τό τε ὄρος ὁ Ἐλέφας τυγχάνει κείμενον καὶ ἡ Ἀρωματοφόρος χώρα· μεθ’ ἣν ἐκδέχεται τὸ ἔθνος τὸ λεγόμενον Βαρβαρικὸν καὶ τὸ Βαρβαρικὸν καλούμενον πέλαγος, ἐν ᾧ κόλποι τε πλείους εἰσὶ καὶ οἱ δρόμοι τῆς καλουμένης Ἀζανίας. Καὶ πρῶτος μὲν τῶν ἐπισήμων κόλπος ἐστὶν ἐν αὐτῷ ὁ καλούμενος Ἀπόκοπα, εἶθ’ ἑξῆς μικρὸς Αἰγιαλὸς καὶ μέγας, μεθ’ οὓς ἕτερος κόλπος μέγας μέχρι τοῦ Ῥαπτοῦ ἀκρωτηρίου. Μετὰ δὲ ταῦτα ἡ λεγομένη Βραχεῖα θάλασσα καὶ ὁ περὶ αὐτὴν μέγιστος κόλπος, ὅνπερ οἰκοῦσι βάρβαροι Ἀνθρωποφάγοι. Ἐν δὲ τῷ τέλει τοῦ κόλπου κεῖται τὸ μέγιστον ἀκρωτήριον, ὃ καλεῖται Πράσον ἄκρον, καὶ ἡ Μενουθιὰς νῆσος οὐ πόρρω τοῦ ἀκρωτηρίου τυγχάνουσα. Καὶ ἡ μὲν ὅλη θέσις καὶ περιγραφὴ τῶν δεξιῶν μερῶν τοῦ τε Ἀραβίου κόλπου καὶ τῆς Ἐρυθρᾶς θαλάσσης καὶ προσέτιγε τοῦ Ἰνδικοῦ πελάγους τοῦ πρὸς τὴν μεσημβρίαν ἀποκλίνοντος, τοῦτον ἔχει τὸν τρόπον· τὰ δὲ κατὰ μέρος οὕτω πως ἔχει· [Λείπει τὰ κατὰ μέρος.

1 14 ] ΑΠΟΣΠΑΣΜΑΤΑ.

1 14F Ἀστάρτη, νῆσος ἐν Αἰθιοπίᾳ. Μαρκιανὸς ἐν Περίπλῳ πρώτῳ· «Ἐντεῦθεν ἄρχεται Αἰθιοπία ἡ ὑπὲρ Αἴγυπτον· ἀπὸ δὲ Βαζίου ἄκρου ἐκδέχεται Πριόνωτον ὄρος· κατὰ δὲ τοῦτο νῆσος Ἀστάρτ η·» Ἀσπίς, πόλις Λιβύης, ὡς Φίλων· ἔστι καὶ ἀκρωτήριον Αἰθιοπίας τῆς κατ’ Αἴγυπτον, ὡς Μαρκιανὸς πρώτῃ Περιόδων. Γυψηίς, νῆσος Αἰθιοπίας, ὡς Μαρκιανὸς ἐν Περίπλων α′. Μόσυλον, ἀκρωτήριον καὶ ἐμπόριον Αἰθιοπίας. Μαρκιανὸς ἐν πρώτῳ Περιόδου. Ἄρωμ α, πόλις Αἰθιόπων, ὡς Μαρκιανός. Μυρίκη, νῆσος ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ. Μαρκιανὸς ἐν Περίπλῳ αὐτῆς. Ἀπόκοπα, οὐδετέρως, κόλπος ἐν τῷ Βαρβαρικῷ μυχῷ. Μαρκιανὸς ἐν Περίπλῳ. ΤΩΝ ΑΡΙΣΤΕΡΩΝ ΜΕΡΩΝ ΤΟΥ ΤΕ ΑΡΑΒΙΟΥ ΚΟΛΠΟΥ ΚΑΙ ΤΗΣ ΕΡΥΘΡΑΣ ΘΑΛΑΣΣΗΣ ΚΑΙ ΤΟΥ ΙΝΔΙΚΟΥ ΠΕΛΑΓΟΥΣ ΠΑΝΤΟΣ ΠΕΡΙΠΛΟΥΣ.

1 15 Τῶν δὲ ἀριστερῶν τῆς Ἀσίας μερῶν ἡ τῆς ἠπείρου καὶ τῶν θαλασσῶν θέσις τοῦτόν πως διάκειται τὸν τρόπον. Χρὴ γὰρ κἀνταῦθα πρὸ τῶν κατὰ μέρος ὀνομασιῶν τὰς καθόλου δηλῶσαι προσηγορίας, καὶ τὴν θέσιν σημῆναι τῶν τόπων. Πλέοντι τοίνυν τὸν Ἀράβιον κόλπον καὶ ἀριστερὰν ἔχοντι τὴν ἤπειρον πρώτη μέν ἐστιν ἡ καλουμένη Εὐδαίμων Ἀραβία παρὰ ὅλον τὸν Ἀράβιον διήκουσα κόλπον μέχρι τοῦ προρρηθέντος Ἀραβίου πορθμοῦ. Μετὰ δὲ τὰ στενὰ τοῦ Ἀραβίου κόλπου ἐκδέχεται ἡ Ἐρυθρὰ θάλασσα, ἣν περιπλέοντι καὶ τὴν ἤπειρον ἀριστερὰν ἔχοντι, τὸ προρρηθὲν ἔτι τῶν Ἀράβων ἔθνος ἐκδέχεται παρὰ πᾶσαν ταύτην παροικοῦν τὴν ἤπειρον. Ἐν τούτῳ δὲ τῷ μέρει τῆς θαλάσσης καὶ τὸ τῶν Ὁμηριτῶν ἔθνος τυγχάνει τῆς τῶν Ἀράβων ὑπάρχον γῆς, μέχρι τῆς ἀρχῆς τοῦ Ἰνδικοῦ διῆκον πελάγους. Μετὰ δὲ τὴν Ἐρυθρὰν θάλασσαν ἑξῆς ἐστι τὸ Ἰνδικὸν πέλαγος. Περιπλέοντι τοίνυν καὶ τούτου τὰ ἀριστερὰ μέρη τὰ πρὸς τὴν Ἀράβων γῆν ἀναπεπταμένα μέχρι τοῦ στόματος τοῦ Περσικοῦ κόλπου, ἐκδέχεται ὅ τε Σύαγρος τὸ ὄρος καὶ ὁ Σαχαλίτης κόλπος μέγιστος ὢν καὶ διήκων ἄχρι τοῦ στόματος τοῦ κόλπου τοῦ Περσικοῦ. Εἰσπλεύσαντι δὲ εἰς τὸν Περσικὸν κόλπον καὶ περιπλέοντι τοῦτον, ἀριστερὰν δὲ τὴν ἤπειρον ἔχοντι μέχρι τῶν ἐκβολῶν τοῦ Τίγριδος ποταμοῦ *** , ἐν αὐτῷ ἔτι τῷ Περσικῷ κόλπῳ ἡ Σουσιανὴ τὸ ἔθνος ἐκδέχεται· οὐ μὴν ἀλλὰ καὶ ἡ Περσὶς μετὰ τὴν Σουσιανὴν κειμένη τυγχάνει, μεθ’ ἣν Καρμανίας τὸ πλεῖστον μέρος ἄχρι τῶν στενῶν τοῦ αὐτοῦ Περσικοῦ κόλπου. Ἀντίκειται δὲ ὁ Περσικὸς κόλπος τῇ Κασπίᾳ θαλάσσῃ τῇ καὶ Ὑρκανίᾳ λεγομένῃ, καὶ στενώσας τὴν μεταξὺ γῆν ποιεῖ μέγαν ἰσθμὸν τῆς Ἀσίας. Ἐκπλεύσαντι δὲ τὸν κόλπον καὶ πρὸς τὴν ἕω τὸν πλοῦν ποιουμένῳ ἀριστεράν τε ὁμοίως τὴν ἤπειρον ἔχοντι, ἐκδέχεται πάλιν τὸ Ἰνδικὸν πέλαγος, ᾧ τὸ λειπόμενον τῆς Καρμανίας ἔθνος παροικεῖ.

1 16 Καὶ μετὰ τοῦτο τὸ τῆς Γεδρωσίας ἔθνος κείμενον τυγχάνει· ἑξῆς δὲ τούτων ἐστὶν ἡ Ἰνδικὴ ἡ ἐντὸς Γάγγου ποταμοῦ κειμένη, ἧς κατὰ τὸ μεσαίτατον τῆς ἠπείρου νῆσος καταντικρὺ κεῖται μεγίστη Ταπροβάνη καλουμένη. Μετὰ δὲ ταύτην ἡ ἑτέρα ἐστὶν Ἰνδικὴ ἡ ἐκτὸς Γάγγου ποταμοῦ,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὅρου τυγχάνοντος ἑκατέρων τῶν Ἰνδικῶν γαιῶν. Ἐν δὲ τῇ ἐκτὸς Γάγγου Ἰνδικῇ ἡ Χρυσῆ καλουμένη χερσόνησός ἐστι· μεθ’ ἣν ὁ καλούμενος Μέγας κόλπος· οὗ κατὰ τὸ μεσαίτατον οἱ ὅροι τῆς ἐκτὸς Γάγγου Ἰνδικῆς καὶ τῶν Σινῶν εἰσιν. Εἶθ’ ἑξῆς τὸ τῶν Σινῶν ἐστιν ἔθνος, καὶ ἡ τούτων μητρόπολις, ἥτις Θῖναι προσαγορεύεται, ὅριον τῆς ἐγνωσμένης γῆς καὶ ἀγνώστου τυγχάνουσα. Καὶ ἡ μὲν ὅλη τῶν τόπων θέσις καὶ περιγραφὴ τῶν ἀριστερῶν τῆς Ἀσίας μερῶν, τοῦ τε Ἀραβίου κόλπου καὶ τῆς Ἐρυθρᾶς θαλάσσης καὶ προσέτιγε τοῦ Περσικοῦ κόλπου καὶ τοῦ Ἰνδικοῦ πελάγους παντὸς, τοῦτον ἔχει τὸν τρόπον· τὰ δὲ κατὰ μέρος οὕτω πως ἔχει.

1 17aT ΤΟΥ ΑΡΑΒΙΟΥ ΚΟΛΠΟΥ ΤΩΝ ΑΡΙΣΤΕΡΩΝ ΜΕΡΩΝ ΤΩΝ ΠΑΡΑ ΤΗΝ ΕΥΔΑΙΜΟΝΑ ΑΡΑΒΙΑΝ ΠΕΡΙΠΛΟΥΣ. Ἡ Εὐδαίμων Ἀραβία περιορίζεται ἀπὸ μὲν ἄρκτων ταῖς πλευραῖς τῆς τε Πετραίας Ἀραβίας καὶ ἔτι τῆς Ἐρήμου Ἀραβίας καὶ τῷ νοτίῳ μέρει τοῦ Περσικοῦ κόλπου μέχρι τῶν ἐκβολῶν τοῦ Τίγριδος ποταμοῦ, [ἀπὸ δὲ ἀνατολῶν μέρει τε τοῦ Περσικοῦ κόλπου] καὶ μέρει τῆς Ἰνδικῆς θαλάσσης, ἀπὸ δὲ μεσημβρίας τῇ Ἐρυθρᾷ θαλάσσῃ, [ἀπὸ δὲ δύσεως τῷ Ἀραβίῳ κόλπῳ].

1 17 [30N] Τὴν δὲ θέσιν τοιαύτην τινὰ ἔχει. Προπέπτωκε πρὸς τὴν μεσημβρίαν εἰς τὴν Ἐρυθρὰν θάλασσαν καὶ τὸ Ἰνδικὸν πέλαγος ἐπὶ πλεῖστον, καὶ ὥσπερ χερσόνησος μεγίστη πλατυτάτῳ ἰσθμῷ προσεχομένη περιρρεῖται τῇ θαλάσσῃ. Ἐξ ἑκατέρων δὲ αὐτῆς τοῦ ἰσθμοῦ τῶν μερῶν κόλποι δύο παραβέβληνται, καὶ τούτων ὁ μὲν ἐκ τῶν πρὸς τὴν ἑσπέραν μερῶν Ἀράβιος καλεῖται κόλπος ὁ προειρημένος, ὁ δὲ πρὸς τὴν ἕω νενευκὼς Περσικὸς κόλπος ὀνομάζεται· τὰ δὲ μεταξὺ πάντα ἀπὸ Ἀραβίου μυχοῦ μέχρι τοῦ προειρημένου Περσικοῦ κόλπου, καθ’ ὃ μέρος τὰς ἐκβολὰς ὁ Τίγρις ποιεῖται ποταμὸς, περιπλεῖται, χερσονησοειδὴς, ὡς προείρηται, τυγχάνουσα. Ἔθνη δὲ πλεῖστα καὶ μέγιστα ἐν αὐτῇ ἔχει, ὧν τὰ προσεχῆ τῇ θαλάσσῃ κατὰ τὸν περίπλουν δηλωθήσεται. Τὰ δὲ περὶ τὸν αὐχένα τῆς Εὐδαίμονος Ἀραβίας μετὰ τὴν Πετραίαν καὶ τὴν Ἔρημον Ἀραβίαν κατέχουσιν οἱ καλούμενοι Σαρακηνοὶ, πλείονας μὲν ἔχοντες προσηγορίας, πολλὴν δὲ διακατέχοντες ἔρημον γῆν. Γειτνιῶσι γοῦν οὗτοι τῇ Πετραίᾳ Ἀραβίᾳ καὶ τῇ Ἐρήμῳ Ἀραβίᾳ καὶ τῇ Παλαιστίνῃ καὶ τῇ Περσίδι καὶ ἀκολούθως τῇ προειρημένῃ Εὐδαίμονι Ἀραβίᾳ. [Λείπει τὰ κατὰ μέρος] ΑΠΟΣΠΑΣΜΑΤΑ.

1 18 Ὄνν η, ἐμπόριον τῆς Εὐδαίμονος Ἀραβίας. Μαρκιανὸς ἐν Περίπλῳ. Σιδηνο ί, ἔθνος παρακείμενον τῇ Ἐρυθρᾷ θαλάσσῃ, ὡς Μαρκιανὸς ἐν Περίπλῳ. Ζαδράμη, βασίλειον τῶν Κιναιδοκολπιτῶν. Εἰσὶ δὲ ἔθνος τῆς Εὐδαίμονος Ἀραβίας. Μαρκιανὸς ἐν Περίπλῳ αὐτῆς «Ζαδραμιτῶν (καὶ) Κιναιδοκολπιτῶν.» Τὸ ἐθνικὸν Ζαδραμαῖος. Κασσανῖται, ἔθνος ἐν τῇ παραλίᾳ τῆς Ἐρυθρᾶς θαλάσσης. Μαρκιανὸς ἐν Περίπλῳ αὐτῆς· «Ἐντεῦθεν ἐκδέχεται τὸ τῶν Κασσανιτῶν ἔθνος. Μινναῖοι, ἔθνος ἐν τῇ παραλίᾳ τῆς Ἐρυθρᾶς θαλάσσης. Μαρκιανὸς ἐν Περίπλῳ αὐτῆς. Ὁμηρῖται, ἔθνος Αἰθιόπων. Μαρκιανὸς ἐν Περίπλῳ α′. Χαδραμωτῖται, ἔθνος περὶ τὸν Ἰνδικὸν κόλπον, τῷ Πρίονι παροικοῦντες ποταμῷ, ὥς φησι Μαρκιανὸς ἐν τῷ Περίπλῳ αὐτοῦ. Ἀσκῖται, ἔθνος παροικοῦν τὸν Ἰνδικὸν κόλπον καὶ ἐπὶ ἀσκῶν πλέον, ὡς Μαρκιανὸς ἐν τῷ Περίπλῳ αὐτοῦ· «Παροικεῖ αὐτὸν ἔθνος καὶ αὐτὸ καλούμενον Σαχαλιτῶν· ἔτι μὴν καὶ Ἀσκιτῶν ἕτερον ἔθνος [ἐπὶ ἀσκῶν πλέον]». Ἔστιν οὖν παρὰ τὸν ἀσκὸν Ἀσκίτης, ὡς παρὰ τὸν ἀστὸν ἀστίτης, μέσος μεσίτης. Ἴστριαν ά, πόλις παρὰ τὴν Περσικὴν θάλασσαν, ὡς Μαρκιανὸς ἐν Περίπλῳ αὐτῆς. Μαλλάδα, πόλις Περσική. Μαρκιανὸς ἐν Περίπλῳ τοῦ Περσικοῦ κόλπου. Ἀδαρούπολις, πόλις Περσικὴ, ὡς Μαρκιανὸς ἐν Περίπλῳ τοῦ Περσικοῦ κόλπου. Κορομάνη, πόλις πρὸς τὸν Περσικὸν κόλπον. Μαρκιανὸς ἐν Περίπλῳ αὐτοῦ. Μεσανίτης κόλπο ς. Μαρκιανὸς ἐν Περίπλῳ τῆς Περσικῆς θαλάσσης. Λαδισακίτης (? ) κόλπος ἐν τῇ Περσικῇ θαλάσσῃ. Μαρκιανὸς ἐν Περίπλῳ αὐτῆς. Κτησιφῶν, πόλις Ἀσσυρίας. Μαρκιανὸς ἐν Περίπλῳ. Ἔστι δὲ τῆς Εὐδαίμονος Ἀραβίας τὸ μὲν μῆκος σταδίων „ α ͵ αψ′, τὸ δὲ πλάτος σταδίων ͵ ηων′.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

1 19 Ἔχει δὲ ἔθνη ἤτοι σατραπείας νδʹ, πόλεις δὲ ἐπισήμους καὶ κώμας ρξδʹ, ὄρη ἐπίσημα ιεʹ, ποταμοὺς ἐπισήμους δʹ, λιμένας ἐπισήμους ςʹ, κόλπους ἐπισήμους εʹ, αἰγιαλοὺς μεγάλους δύο, νήσους ἐπισήμους τὰς ἐν τῷ περίπλῳ εἰρημένας λεʹ. Οἱ πάντες ἀπὸ τοῦ Ἀσαβῶν ἀκρωτηρίου μέχρι τοῦ Μαισανίτου κόλπου τοῦ παρὰ τὴν Εὐδαίμονα Ἀραβίαν τυγχάνοντος στάδιοι ͵ερμʹ. Οἱ δὲ σύμπαντες ἀπὸ τοῦ Αἰλανίτου μυχοῦ τοῦ ἐν τῷ Ἀραβίῳ κόλπῳ μέχρι τοῦ Μαισανίτου κόλπου καὶ τοῦ πρὸς τῇ Ἐρήμῳ πέρατος τοῦ Περσικοῦ κόλπου καὶ ἔτι τῶν ἐκβολῶν τοῦ Τίγριδος ποταμοῦ τοῦ περίπλου παντὸς τῆς παραλίας τῆς τῶν Εὐδαιμόνων Ἀράβων γῆς εἰσι στάδιοι ,, γ ͵ηρνʹ ΣΟΥΣΙΑΝΗΣ [ΠΕΡΙΠΛΟΥΣ.

1 20T ] Ἡ Σουσιανὴ κεῖται μὲν ἐν τῷ Περσικῷ κόλπῳ· περιορίζεται δὲ ἀπὸ μὲν ἄρκτων τῇ Ἀσσυρίᾳ, ἀπὸ δὲ δύσεως τῇ προειρημένῃ Βαβυλωνίᾳ παρὰ τὸ τοῦ Τίγριδος ποταμοῦ μέρος τὸ μέχρι θαλάσσης, ἀπὸ δὲ ἀνατολῆς τῇ Περσίδι, ἀπὸ δὲ μεσημβρίας τῷ Περσικῷ κόλπῳ ἀπὸ τῶν ἐκβολῶν τοῦ Τίγριδος ποταμοῦ μέχρι τῶν ἐκβολῶν τῶν εἰς τὸν Περσικὸν κόλπον τοῦ Ὀροάτιος ποταμοῦ.

1 20 Καὶ ἡ μὲν ὅλη τῆς χώρας περιγραφὴ τοιαύτη· ὁ δὲ κατὰ μέρος παράπλους οὕτω πως ἔχει. Ἀπὸ τοῦ ἀνατολικοῦ στόματος τοῦ Τίγριδος ποταμοῦ ἐπὶ Χάρακα Πασίνου στάδιοι πʹ.

1 21 Κατὰ τοῦτο τὸ μέρος νῆσος κεῖται Ἀπφάνα λεγομένη· ταύτην δέ τινες τῷ περίπλῳ τῆς Εὐδαίμονος Ἀραβίας προσνέμουσιν, ἐν ταῖς λεʹ νήσοις ἀριθμοῦντες. Ἀπὸ δὲ τοῦ Χάρακος Πασίνου ἐπὶ Μωγαίου ποταμοῦ ἐκβολὰς στάδιοι ψʹ. Ἀπὸ δὲ Μωγαίου ποταμοῦ ἐπὶ Πηλώδη κόλπον λεγόμενον στάδιοι υʹ. Παροικοῦσι δὲ τὸν κόλπον τοῦτον καὶ τοὺς περὶ αὐτὸν τόπους Ἐλυμαῖοι, τῆς Σουσιανῆς ὄντες χώρας. Κατὰ δὲ τὸν κόλπον τοῦτον νῆσος κεῖται, Ταξίανα λεγομένη. Ἀπὸ δὲ τοῦ κόλπου ἐπὶ τὰς τοῦ Εὐλαίου ποταμοῦ ἐκβολὰς στάδιοι χϙʹ. Κατὰ τοῦτον τὸν ποταμὸν ἐν τῇ μεσογείᾳ πόλις κεῖται τῆς Σουσιανῆς μητρόπολις τὰ Σοῦσα. Ἀπὸ δὲ τοῦ Εὐλαίου ποταμοῦ εἰς Τέναγος [ἀμμῶδες στάδιοι ριʹ. Ἀπὸ δὲ Τενάγους] ἀμμώδους ἐπὶ τὰς τοῦ Ὀροάτιος ποταμοῦ ἐκβολὰς στάδιοι ͵αυνʹ. Ἔστι δὲ τῆς Σουσιανῆς τὸ μὲν μῆκος στάδιοι ͵γφʹ, τὸ δὲ πλάτος στάδιοι ͵βτνʹ.

1 22 Ἔχει δὲ ἔθνη ἤτοι σατραπείας ςʹ, πόλεις δὲ ἐπισήμους καὶ κώμας ιζʹ, ποταμοὺς ἐπισήμους δʹ, Πηλώδη κόλπον, Τέναγος ἀμμῶδες, Ἡρακλέους στήλας. Οἱ πάντες ἀπὸ τοῦ στόματος τοῦ Τίγριδος ποταμοῦ μέχρι τῶν ἐκβολῶν τοῦ Ὀροάτιος ποταμοῦ τοῦ παράπλου τῆς Σουσιανῆς χώρας στάδιοι ͵γυλʹ. ΠΕΡΣΙΔΟΣ ΠΑΡΑΠΛΟΥΣ.

1 23 Ἡ Περσὶς κεῖται μὲν καὶ αὐτὴ ἐν τῷ Περσικῷ κόλπῳ, περιορίζεται δὲ ἀπὸ μὲν ἄρκτων τῇ Μηδίᾳ, ἀπὸ δὲ δύσεως τῇ προειρημένῃ Σουσιανῇ, ἀπὸ δὲ ἀνατολῶν τῇ Καρμανίᾳ, ἀπὸ δὲ μεσημβρίας τῷ Περσικῷ κόλπῳ, [ἀπὸ] τοῦ Ὀροάτιος ἀρξαμένη ποταμοῦ, μέχρι τῶν ἐκβολῶν Βαγράδα τοῦ ποταμοῦ. Καὶ ἡ μὲν ὅλη τῆς χώρας περιγραφὴ τοιαύτη· ὁ δὲ κατὰ μέρος περίπλους τοῦτον ἔχει τὸν τρόπον. Ἀπὸ τῶν ἐκβολῶν τοῦ Ὀροάτιος ποταμοῦ ἐπὶ ἄκραν Ταόκην λεγομένην στάδιοι φʹ.

1 24 Ἀπὸ δὲ ἄκρας Ταόκης ἐπὶ Ῥογομάνιος ποταμοῦ ἐκβολὰς στάδιοι ψʹ. Ἐν δὲ τῷ παράπλῳ νῆσος κεῖται Σῶφθα καλουμένη. Ἀπὸ δὲ Ῥογομάνιος ποταμοῦ εἰς Χερσόνησον στάδιοι φʹ. Ἐνταῦθα παράκειται νῆσος Ἀλεξάνδρου καλουμένη. Ἀπὸ δὲ τῆς Χερσονήσου εἰς Βρισοάνα ποταμοῦ ἐκβολὰς στάδιοι χνʹ. Ἀπὸ δὲ τοῦ Βρισοάνα ποταμοῦ εἰς Αὐσίνζα στάδιοι χʹ. Ἀπὸ [δὲ] Αὐσίνζων [εἰς] Βαγράδα ποταμοῦ ἐκβολὰς στάδια υνʹ. Ἐνταῦθα τῆς Περσίδος τοὺς ὅρους ἀποτελευτᾶν προειρήκαμεν. Ἔστι δὲ τῆς Περσίδος τὸ μὲν μῆκος στάδιοι ͵δ, τὸ δὲ πλάτος ͵αυʹ.

1 25 Ἔχει δὲ ἔθνη ἢ σατραπείας ιʹ, πόλεις δὲ ἐπισήμους καὶ κώμας λβʹ, ποταμοὺς ἐπισήμους γʹ, ἀκρωτήριον ἐπίσημον αʹ, χερσόνησον ἐπίσημον αʹ, νήσους ἐπισήμους βʹ. Οἱ πάντες ἀπὸ τοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὀροάτιος μέχρι τῶν τοῦ Βαγράδα ποταμοῦ ἐκβολῶν τοῦ παράπλου τῆς τῶν Περσῶν χώρας στάδιοι ͵ γυʹ. ΚΑΡΜΑΝΙΑΣ ΠΕΡΙΠΛΟΥΣ.

1 26 Ἡ Καρμανία μέρει μέν τινι κατὰ τὸν Περσικὸν κεῖται κόλπον, μέρει δὲ παρὰ τὸ Ἰνδικὸν πέλαγος [τὸ] μετὰ τὸν κόλπον τὸν Περσικόν. Περιορίζεται δὲ ἀπὸ μὲν ἄρκτων τῇ ἐρήμῳ Καρμανίᾳ, ἀπὸ δὲ δύσεως τῇ προρρηθείσῃ Περσίδι καὶ τῷ προειρημένῳ Βαγράδᾳ ποταμῷ καὶ ἔτι τῷ λειπομένῳ μέρει τοῦ Περσικοῦ κόλπου, (διὰ τὸ πρὸς δύσιν ὁρᾶν αὐτὸν) καλουμένῳ Καρμανικῷ· ἀπὸ δὲ ἀνατολῶν Γεδρωσίᾳ τῷ ἔθνει παρὰ τὰ Παρσικὰ ὄρη· ἀπὸ δὲ μεσημβρίας μετὰ τὰ στενὰ τοῦ Περσικοῦ κόλπου τῷ Ἰνδικῷ πελάγει. Καὶ ἡ μὲν ὅλη τῆς χώρας περιγραφὴ τοιαύτη· ὁ δὲ κατὰ μέρος περίπλους οὕτως ἔχει. Ἀπὸ τῶν ἐκβολῶν τοῦ εἰρημένου Βαγράδα ποταμοῦ ἐπὶ Δάρα ποταμὸν στάδιοι τʹ.

1 27 Ἐνταῦθα παροικοῦσι Καμηλοβοσκοὶ, τῆς Καρμανίας χώρας ὄντες. Ἀπὸ δὲ τοῦ Δάρα ποταμοῦ ἐπὶ Κάθραπος ποταμοῦ ἐκβολὰς στάδιοι φʹ. [Ἀπὸ δὲ τοῦ Κάθραπος ποταμοῦ] ἐπὶ Κορίου ποταμοῦ ἐκβολὰς στάδιοι ψʹ. Κατὰ τούτους τοὺς τόπους νῆσος κεῖται Ἀγηδάνα καλουμένη, ἐν ᾗ μίλτος πολλὴ γίνεται. Ἀπὸ δὲ τοῦ Κορίου ποταμοῦ εἰς Ἀχιδάνα ποταμοῦ ἐκβολὰς στάδιοι υʹ. Ἀπὸ δὲ Ἀχιδάνα ποταμοῦ ἐπὶ Ἀνδάνιος ποταμοῦ ἐκβολὰς στάδιοι φʹ. Παράκειται δὲ τοῖς τόποις τούτοις νῆσος Ὀοράχθα. Ἀπὸ δὲ τοῦ Ἀνδάνιος ποταμοῦ ἐπὶ Σαγάνου ποταμοῦ ἐκβολὰς στάδιοι υʹ. Ἀπὸ δὲ Σαγάνου ποταμοῦ ἐκβολῶν εἰς Ἅρμουζαν πόλιν στάδιοι σʹ. Ἀπὸ δὲ Ἀρμούζης ἐπὶ Ἀρμόζων ἀκρωτήριον λεγόμενον στάδιοι ωʹ. Ἀπὸ δὲ τοῦ Ἀρμόζων ἀκρωτηρίου ἐπὶ Καρπέλλαν ἀκρωτήριον στάδιοι ψνʹ. Ἐνταῦθα παράκειται τὸ προρρηθὲν στρογγύλον ὄρος τὸ Σεμιράμιδος, ᾧπερ ἀντικεῖσθαι ἔφαμεν κατὰ τὴν Εὐδαίμονα Ἀραβίαν τὸ Ἀσαβῶν ὄρος τε [καὶ] ἀκρωτήριον, ἅπερ ἑκάτερα ὄρη τε καὶ ἀκρωτήρια τὰ στενὰ ποιεῖ τοῦ Περσικοῦ κόλπου. Οἱ πάντες ἀπὸ τοῦ Βαγράδα ποταμοῦ μέχρι τοῦ στρογγύλου ὄρους καὶ Καρπέλλης ἄκρας τοῦ περίπλου τῆς Καρμανίας τοῦ παρὰ τὸν Περσικὸν κόλπον τυγχάνοντος στάδιοι ͵ δσνʹ. Οἱ δὲ σύμπαντες τοῦ περίπλου παντὸς τοῦ Περσικοῦ κόλπου ἀπὸ τοῦ Ἀσαβῶν ὄρους καὶ τοῦ Ἀσαβῶν ἀκρωτηρίου μέχρι τοῦ Σεμιράμιδος στρογγύλου ὄρους καὶ Καρπέλλης ἀκρωτηρίου [στάδιοι „ α ͵ ςψζʹ. Μετὰ δὲ τὴν Κάρπελλαν ἄκραν] ἐκδέχεται τὸ Ἰνδικὸν πέλαγος πρὸς ἀνατολὰς ἐκτεινόμενον· ᾧ τὸ λειπόμενον μέρος τῆς Καρμανίας παρήκει μέχρι Μουσαρναίων γῆς.

1 28 Ἐκδέχεται τοίνυν μετὰ τὴν ἄκραν τὴν Κάρπελλαν μέγιστος κόλπος ὁ καλούμενος Παράγων, διήκων μέχρι τοῦ ἀκρωτηρίου τοῦ καλουμένου Ἀλαμβατὴρ, καὶ τῆς νήσου τῆς καλουμένης Ζίβης. Τὰ δὲ κατὰ μέρος οὕτως ἔχει. Ἀπὸ Καρπέλλης ἄκρας εἰς Κανθάτιν πόλιν στάδιοι ͵ α. Ἐνταῦθα παροικοῦσιν οἱ καλούμενοι Πασαργάδαι, τοῦ Καρμανῶν ὄντες γένους. Ἀπὸ δὲ Κανθάτιδος πόλεως εἰς Ἄγρισαν πόλιν στάδιοι σνʹ. Ἀπὸ δὲ Ἀγρίσης πόλεως ἐπὶ Ὄμμανα ἐμπόριον τῶν ἐπισήμων στάδιοι χʹ. Ἀπὸ δὲ Ὀμμάνων ἐπὶ Ῥόγανα στάδιοι ρνʹ. Ἀπὸ δὲ Ῥογάνων εἰς Σαλάρου ποταμοῦ ἐκβολὰς στάδιοι ρνʹ. Ἀπὸ δὲ Σαλάρου ποταμοῦ ἐπὶ Πασίδα στάδιοι σʹ. Ἀπὸ δὲ Πασίδος εἰς Σαμυδάκην πόλιν στάδιοι σʹ. Ἐνταῦθα παροικοῦσι Χελωνοφάγοι, τῆς Καρμανίας καὶ αὐτοὶ τυγχάνοντες. Ἀπὸ δὲ Σαμυδάκης πόλεως ἐπὶ Σαμυδάκου ποταμοῦ ἐκβολὰς στάδιοι φʹ. Ἀπὸ δὲ Σαμυδάκου ποταμοῦ εἰς Τησὰ πόλιν στάδιοι υʹ. Ἀπὸ δὲ Τησὰ πόλεως εἰς Ὑδριάκου ποταμοῦ ἐκβολὰς στάδιοι σʹ. Ἀπὸ δὲ τοῦ Ὑδριάκου ποταμοῦ ἐκβολῶν ἐπὶ Βαγίαν ἄκραν στάδιοι υʹ. Ἀπὸ δὲ Βαγίας ἄκρας εἰς Κύϊζα λιμένα στάδιοι σνʹ. Ἀπὸ δὲ Κυΐζων λιμένος εἰς Ἀλαμβατὴρ ἀκρωτήριον στάδιοι υʹ. Κατὰ ταῦτα [τὰ] μέρη κεῖται νῆσος πελαγία Πόλα καλουμένη. Παράκειται δὲ τῷ Ἀλαμβατὴρ ἀκρωτηρίῳ νῆσος καλουμένη Ζίβη. Ἐνταῦθα τελευτᾶν τὸν κόλπον τὸν καλούμενον Παράγοντα προειρήκαμεν. Ἔστι δὲ ὁ πᾶς περίπλους αὐτοῦ ἀπὸ Καρπέλλης ἄκρας εἰς Ἀλαμβατὴρ ἀκρωτήριον σταδίων ͵ δψʹ. Ἀπὸ δὲ τοῦ Ἀλαμβατὴρ ἀκρωτηρίου εἰς Δερενόβιλλαν στάδιοι σνʹ.

1 29

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἐνταῦθα παράκειται νῆσος Κάρμινα καλουμένη. Ἀπὸ δὲ Δερενοβίλλης εἰς Κώφαντα λιμένα στάδιοι σν′. Ἀπὸ δὲ Κώφαντος λιμένος εἰς Ζοράμβου ποταμοῦ ἐκβολὰς στάδιοι σ′. Ἀπὸ δὲ τοῦ Ζοράμβου ποταμοῦ εἰς Βάδαρα στάδιοι σν′. Ἀπὸ δὲ Βαδάρων εἰς Μουσάρνα πόλιν στάδιοι τ′. Ἔστι δὲ τῆς Καρμανίας τὸ μὲν μῆκος στάδιοι ͵ζ, τὸ δὲ πλάτος ͵αφ′.

1 30 Ἔχει δὲ ἔθνη ἤτοι σατραπείας ι′, πόλεις δὲ ἐπισήμους καὶ κώμας κγ′, ὄρη ἐπίσημα γ′, ποταμοὺς ἐπισήμους ι′, ἀκρωτήρια ἐπίσημα γ′, λιμένας ἐπισήμους ε′. Οἱ πάντες ἀπὸ τοῦ Καρπέλλης ἀκρωτηρίου μέχρι Μουσάρνων πόλεως τοῦ περίπλου τῆς Καρμανίας τῆς παρὰ τὸ Ἰνδικὸν πέλαγος στάδιοι ͵εϡν′. Οἱ δὲ σύμπαντες ἀπὸ τοῦ Βαγράδα ποταμοῦ μέχρι Μουσάρνων πόλεως τοῦ περίπλου πάσης τῆς τῶν Καρμανῶν παραλίας στάδιοι „ ασ′. ΓΕΔΡΩΣΙΑΣ ΠΕΡΙΠΛΟΥΣ.

1 31 Ἡ Γεδρωσία περιορίζεται ἀπὸ μὲν ἄρκτων τῇ Δραγγιανῇ καὶ τῇ Ἀραχωσίᾳ, ἀπὸ δὲ δύσεως τῇ προειρημένῃ Καρμανίᾳ μέχρι θαλάσσης, ἀπὸ δὲ ἀνατολῶν τῷ τῆς Ἰνδικῆς μέρει τῷ παρὰ τὸν Ἰνδὸν ποταμὸν μέχρι τοῦ πρὸς τῇ μνημονευθείσῃ Ἀραχωσίᾳ ὁρίου, ἀπὸ δὲ μεσημβρίας τῷ Ἰνδικῷ πελάγει. Καὶ ἡ μὲν ὅλη περιγραφὴ τοιαύτη, τὰ δὲ κατὰ μέρος οὕτως ἔχει. Ἀπὸ Μουσάρνων πόλεως εἰς Ἀρτάβιος ποταμοῦ ἐκβολὰς στάδιοι ͵ατ′.

1 32 Ἀναπλεύσαντος δὲ τῷ ποταμῷ πόλις ἐν δεξιᾷ κατὰ τὸν ἀνάπλουν κεῖται Ἄρβις καλουμένη· καὶ ἔτι ἀνώτερον ὁμοίως ἐν δεξιᾷ τοῦ ποταμοῦ, πόλις Παρσὶς ἡ μητρόπολις τῆς Γεδρωσίας. Ἀπὸ δὲ τοῦ Ἀρτάβιος ποταμοῦ εἰς Ῥάπραυα πόλιν στάδιοι φν′. Ἀπὸ δὲ τῆς Ῥάπραυα πόλεως ἐπὶ Γυναικῶν λιμένα στάδιοι φ′. Ἐνταῦθα κεῖνται αἱ τῶν Ἀραβιτῶν κῶμαι. Ἀπὸ δὲ Γυναικῶν λιμένος εἰς Κοίαμβα στάδιοι υ′. [Ἀπὸ δὲ Κοιάμβων εἰς Ῥίζανα στάδιοι ͵αρ]. Ἐντεῦθεν ἄρχεται ἡ Παταληνὴ χώρα, ἧς τὸ πλεῖστον ὁ Ἰνδὸς ποταμὸς τοῖς στόμασιν ἐμπεριείληφε· καὶ αὐτὴν δὲ τὴν μητρόπολιν καλουμένην Πάταλα μετὰ τὸ γ′ στόμα τοῦ Ἰνδοῦ ποταμοῦ ὥσπερ νῆσον κεῖσθαι συμβέβηκε, καὶ ἑτέρας πόλεις πλείστας. Ἔστι δὲ τῆς Γεδρωσίας τὸ μὲν μῆκος σταδίων ͵ϛχ′, τὸ δὲ πλάτος σταδίων ͵εσν′.

1 33 Ἔχει δὲ ἔθνη ἤτοι σατραπείας η′, πόλεις δὲ ἐπισήμους καὶ κώμας ιβ′, ὄρος μέγιστον α′, ποταμὸν μέγαν α′, λιμένα ἐπίσημον α′, νήσους ἐπισήμους β′. Οἱ πάντες ἀπὸ Μουσάρνων πόλεως εἰς Ῥίζανα τῆς τῶν Γεδρωσίων παραλίας στάδιοι γων′. ΙΝΔΙΚΗΣ ΤΗΣ ΕΝΤΟΣ ΓΑΓΓΟΥ ΠΟΤΑΜΟΥ, ΚΑΙ ΤΩΝ ΕΝ ΑΥΤΗι ΚΟΛΠΩΝ ΚΑΙ ΝΗΣΩΝ ΠΕΡΙΠΛΟΥΣ.

1 34 Ἡ ἐντὸς Γάγγου ποταμοῦ Ἰνδικὴ περιορίζεται ἀπὸ μὲν ἄρκτων τῷ Ἰμάῳ ὄρει παρὰ τοὺς ὑπερκειμένους αὐτοῦ Σογδιανοὺς καὶ Σάκας, ἀπὸ δὲ δύσεως πρὸς μὲν τῇ θαλάσσῃ τῇ προειρημένῃ Γεδρωσίᾳ, κατὰ δὲ τὴν μεσόγειον τῇ Ἀραχωσίᾳ καὶ ἀνωτέρω τοῖς Παροπανισάδαις, ἀπὸ δὲ ἀνατολῶν τῷ Γάγγῃ ποταμῷ, ἀπὸ δὲ μεσημβρίας τῷ Ἰνδικῷ πελάγει. Καὶ ἡ μὲν ὅλη περιγραφὴ τοιαύτη· [τὰ δὲ κατὰ μέρος οὕτως ἔχει·] [Λείπει τὰ κατὰ μέρος] Ὁ δὲ πᾶς περίπλους ἀπὸ τοῦ Ναυστάθμου λιμένος μέχρι τοῦ Κῶρυ ἀκρωτηρίου τοῦ μέρους τοῦ προειρημένου τῆς ἐντὸς Γάγγου Ἰνδικῆς σταδίων „ β ͵αψκε′. ΤΑΠΡΟΒΑΝΗΣ ΝΗΣΟΥ ΠΕΡΙΠΛΟΥΣ.

1 35 [11N] Τῷ ἀκρωτηρίῳ τῆς Ἰνδικῆς τῷ καλουμένῳ Κῶρυ ἀντίκειται τὸ τῆς Ταπροβάνης νήσου ἀκρωτήριον τὸ καλούμενον Βόρειον. Ἡ δὲ Ταπροβάνη νῆσος πρότερον μὲν ἐκαλεῖτο Παλαισιμούνδου, νῦν δὲ Σαλική. Τοῦτο δὲ τὸ ἀκρωτήριον τῆς νήσου τὸ ἀντικείμενον τῷ Κῶρυ, ὅπερ ἔφαμεν καλεῖσθαι Βόρειον ἄκρον, ἀπέχει ἀπὸ μὲν τοῦ ἀνατολικοῦ ὁρίζοντος σταδίους „ β ͵ϛυξ′, ἀπὸ δὲ τοῦ δυτικοῦ ὁρίζοντος σταδίους „ ϛκαὶ ͵αχκϛ′, ἀπὸ δὲ μεσημβρίας καὶ ἰσημερίας ὡς πρὸς ἄρκτους σταδίους ͵ϛτν′. [Λείπει τὰ κατὰ μέρος] ΑΠΟΣΠΑΣΜΑ.

1 35F [4N] [Μάργανα, πόλις τῆς Ἰνδικῆς. Μαρκιανὸς ἐν Περίπλῳ. Ἔστι καὶ Μαργάναι πληθυντικῶς.] ********** Μετὰ δὲ τὸ Βόρειον τοίνυν ἀκρωτήριον ἡ ὅλη περιγραφὴ καὶ ὁ περίπλους τῆς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ταπροβάνης νήσου τὸν τρόπον ἔχει τοῦτον· κατὰ μὲν διάμετρον τῷ μήκει στάδιοι ͵ θφʹ, τῷ δὲ πλάτει στάδιοι ͵ ζφʹ.

1 36 [13N] Ἔχει δὲ ἔθνη ἤτοι σατραπείας ιγʹ, πόλεις δὲ ἐπισήμους καὶ ἐμπόρια κβʹ, ὄρη ἐπίσημα βʹ, ποταμοὺς ἐπισήμους εʹ, ἀκρωτήρια ἐπίσημα ηʹ, λιμένας ἐπισήμους δʹ, κόλπους μεγάλους βʹ, αἰγιαλὸν μέγαν αʹ. Οἱ πάντες τοῦ περίπλου τῆς Ταπροβάνης νήσου στάδιοι ͵͵ β ͵ ϛτπε ʹ. Καὶ περὶ μὲν τῆς Ταπροβάνης νήσου τοσαῦτα εἰρήσθω. Πάλιν δὲ ἐπανήξομεν ἐπὶ τὸν παράπλουν τῆς ἐντὸς Γάγγου Ἰνδικῆς. [Λείπει τὰ κατὰ μέρος] ΤΟΥ ΓΑΓΓΗΤΙΚΟΥ ΚΟΛΠΟΥ ΠΕΡΙΠΛΟΥΣ.

1 37 Ἀπὸ τοῦ Ἀφετηρίου τούτου ἐκδέχεται ὁ Γαγγητικὸς καλούμενος κόλπος μέγιστος ὢν σφόδρα, οὗ κατὰ τὸν μυχὸν ὁ Γάγγης ἐξίησι ποταμὸς, πέντε στόμασι τὴν ἐκβολὴν ποιούμενος, ὃν ἔφαμεν ὅριον εἶναι τῆς ἐντὸς Γάγγου Ἰνδικῆς καὶ τῆς ἐκτός. [Λείπει τὰ κατὰ μέρος] Ἔστι δὲ τῆς ἐντὸς Γάγγου ποταμοῦ Ἰνδικῆς τὸ μὲν μῆκος, ᾗ μακροτάτη τυγχάνει, ἀπὸ τοῦ πέμπτου στόματος τοῦ Γάγγου ποταμοῦ λεγομένου Ἀντιβολὴ ἕως τοῦ Ναυστάθμου λιμένος, τοῦ ἐν τῷ Κάνθι κόλπῳ, σταδίων ͵͵ α ͵ ησϙʹ· τὸ δὲ πλάτος, ἀπὸ τοῦ ἀκρωτηρίου τοῦ καλουμένου Ἀφετηρίου ἕως τῶν πηγῶν τοῦ Γάγγου ποταμοῦ, σταδίων ͵͵ α ͵ γ.

1 38 Ἔχει δὲ ἔθνη ἤτοι σατραπείας νδʹ, πόλεις δὲ καὶ κώμας καὶ ἐμπόρια ἐπίσημα σιϛʹ, ὄρη ἐπίσημα ζʹ, ποταμοὺς ἐπισήμους κγʹ, ἀκρωτήρια ἐπίσημα βʹ, λιμένα ἐπίσημον αʹ, κόλπους ἐπισήμους εʹ, στόματα ἐπίσημα ποταμῶν ιβʹ, ἀφετήριον ἐπίσημον αʹ, συμβολὰς ποταμῶν ἐπισήμων ιʹ, νήσους ἐπισήμους θʹ. Οἱ πάντες ἀπὸ τοῦ Ἀφετηρίου μέχρι τοῦ πέμπτου στόματος τοῦ Γάγγου ποταμοῦ τοῦ καλουμένου Ἀντιβολὴ τοῦ περίπλου τοῦ μέρους τοῦ Γαγγητικοῦ κόλπου στάδιοι ͵ εχξʹ.

1 39 Οἱ δὲ σύμπαντες ἀπὸ τοῦ Ναυστάθμου λιμένος ἕως τοῦ πέμπτου στόματος τοῦ Γάγγου ποταμοῦ, ὃ καλεῖται Ἀντιβολὴ, τοῦ περίπλου παντὸς τῆς ἐντὸς Γάγγου ποταμοῦ Ἰνδικῆς στάδιοι ͵͵ γ ͵ εχϙε ʹ. ΙΝΔΙΚΗΣ ΤΗΣ ΕΚΤΟΣ ΓΑΓΓΟΥ ΠΟΤΑΜΟΥ ΚΑΙ ΤΩΝ ΕΝ ΑΥΤΗι ΚΟΛΠΩΝ ΠΕΡΙΠΛΟΥΣ.

1 40 [10N] Ἡ Ἰνδικὴ ἡ ἐκτὸς Γάγγου ποταμοῦ περιορίζεται ἀπὸ μὲν ἄρκτων τοῖς μέρεσι τῆς Σκυθίας καὶ τῆς Σηρικῆς, ἀπὸ δὲ δύσεως αὐτῷ τῷ Γάγγῃ ποταμῷ, ἀπὸ δὲ ἀνατολῶν τοῖς Σίναις μέχρι τοῦ καλουμένου Μεγάλου κόλπου καὶ αὐτῷ τῷ κόλπῳ, ἀπὸ δὲ μεσημβρίας τῷ τε Ἰνδικῷ πελάγει καὶ μέρει τῆς Πρασώδους θαλάσσης, ἥτις ἀπὸ τῆς Μενουθιάδος νήσου ἀρξαμένη διατείνει κατὰ παράλληλον γραμμὴν μέχρι τῶν ἀντικειμένων μερῶν τῷ Μεγάλῳ κόλπῳ, καθὰ προειρήκαμεν. [Λείπει τὰ κατὰ μέρος.] Ἔστι δὲ τῆς ἐκτὸς Γάγγου ποταμοῦ Ἰνδικῆς τὸ μὲν μῆκος, ᾗ μακροτάτη τυγχάνει, σταδίων ͵͵ α ͵ αχνʹ· τὸ δὲ πλάτος, ᾗ πλατυτάτη ἐστὶ, σταδίων ͵͵ α ͵ θ.

1 41 Ἔχει δὲ ἔθνη ἤτοι σατραπείας νʹ, πόλεις δὲ καὶ κώμας ἐπισήμους καὶ ἐμπόρια ξζʹ, ὄρη ἐπίσημα ιηʹ, ἀκρωτήρια ἐπίσημα εʹ, λιμένας ἐπισήμους γʹ, κόλπον μέγιστον αʹ, νήσους ἐπισήμους λʹ. Οἱ πάντες ἀπὸ τοῦ [Μεγάλου] ἀκρωτηρίου μέχρι τοῦ πρὸς Σίνας ὁρίου τοῦ περίπλου τοῦ μέρους τοῦ Μεγάλου κόλπου τοῦ παρὰ τὴν ἐκτὸς Γάγγου Ἰνδικὴν τυγχάνοντος στάδιοι ͵͵ α ͵ βφνʹ.

1 42 Οἱ δὲ σύμπαντες ἀπὸ τοῦ πέμπτου στόματος τοῦ Γάγγου ποταμοῦ, ὃ καλεῖται Ἀντιβολὴ, μέχρι τῶν πρὸς τοὺς Σίνας τὸ ἔθνος ὅρων τοῦ περίπλου παντὸς τῆς παραλίας τῆς ἐκτὸς Γάγγου Ἰνδικῆς στάδιοι ͵͵ δ ͵ ετνʹ. ΣΙΝΩΝ ΚΑΙ ΤΩΝ ΕΝ ΑΥΤΟΙΣ ΚΟΛΠΩΝ ΠΕΡΙΠΛΟΥΣ.

1 43 [8N] Τὸ τῶν Σινῶν ἔθνος περιορίζεται ἀπὸ μὲν ἄρκτων μέρει τῆς Σηρικῆς, ἀπὸ δὲ δύσεως τῇ ἐκτὸς Γάγγου ποταμοῦ Ἰνδικῇ κατὰ τὸ προειρημένον ἐν τῷ Μεγάλῳ κόλπῳ ὅριον, ἀπὸ δὲ ἀνατολῶν ἀγνώστῳ γῇ, ἀπὸ δὲ μεσημβρίας τῇ τε μεσημβρινῇ θαλάττῃ καὶ τῇ μεσημβρινῇ ἀγνώστῳ γῇ. Καὶ ἡ μὲν ὅλη περιγραφὴ τοῦτον ἔχει τὸν τρόπον· [τὰ δὲ κατὰ μέρος οὕτως ἔχει·] [Λείπει τὰ κατὰ μέρος,] Ἐντεῦθεν ἄρχονται παροικεῖν μέχρι τῆς μεσημβρινῆς ἀγνώστου γῆς Ἰχθυοφάγοι Σῖναι.

1 44 Δύο γὰρ ἀγνώστους ὑπονοεῖν χρὴ γᾶς, τήν τε παρὰ τὴν ἀνατολὴν διήκουσαν, ᾗ παροικεῖν εἰρήκαμεν τοὺς Σίνας, καὶ τὴν παρὰ τὴν μεσημβρίαν, ἥτις διήκει παρὰ πᾶσαν τὴν Ἰνδικὴν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

θάλασσαν ἤτοι τὴν Πρασώδη καλουμένην, μέρος οὖσαν τῆς Ἰνδικῆς θαλάσσης, ὥστε συνάπτουσαν ἑκατέρας τὰς ἀγνώστους γᾶς καθάπερ τινὰ γωνίαν ἀποτελεῖν περὶ τὸν τῶν Σινῶν κόλπον. Ὑπέρκειται δὲ τῶν Σινῶν ἥ τε τῶν Σηρῶν χώρα καὶ ἡ μητρόπολις αὐτῶν. Τὰ δὲ ἀνατολικώτερα τούτων ἄγνωστός ἐστι γῆ, λίμνας ἔχουσα ἑλώδεις, ἐν αἷς κάλαμοι μεγάλοι φύονται, καὶ συνεχεῖς οὕτως, ὥστε ἐχομένους αὐτῶν ποιεῖσθαι τὰς διαπεραιώσεις. ΤΟΥ ΘΗΡΙΩΔΟΥΣ ΚΟΛΠΟΥ ΠΕΡΙΠΛΟΥΣ.

1 45 Πλέοντι τοίνυν μετὰ τὸν Μέγαν κόλπον καὶ τὸ Νότιον ἄκρον ὡς πρὸς τὴν μεσημβρίαν καὶ ἀριστερὰν ἔχοντι τήν τε τῶν Σινῶν γῆν καὶ τὴν ἀνατολὴν, ἐκδέχεται κόλπος Θηριώδης καλούμενος, διήκων μέχρι τοῦ ἀκρωτηρίου τοῦ καλουμένου Σατύρων ἄκρου. Οἱ πάντες ἀπὸ τοῦ Νοτίου ἄκρου μέχρι τοῦ τῶν Σατύρων ἀκρωτηρίου τοῦ περίπλου τοῦ Θηριώδους κόλπου στάδιοι ‚‚ αφγʹ. ΤΟΥ ΤΩΝ ΣΙΝΩΝ ΚΟΛΠΟΥ ΠΕΡΙΠΛΟΥΣ.

1 46 Ἀπὸ δὲ τοῦ ἄκρου τῶν Σατύρων ἐκδέχεται κόλπος μέγιστος, καλούμενος Σινῶν κόλπος. Παρήκει δὲ οὗτος μέχρι τῆς μεσημβρινῆς ἀγνώστου γῆς, ᾗ συνάπτει τὴν τῆς ἀνατολῆς ἄγνωστον γῆν, ᾗπερ εἰρήκαμεν παροικεῖν τοὺς Σίνας. Ἀπὸ δὲ τοῦ ἀκρωτηρίου τοίνυν τῶν Σατύρων ἐπὶ Κοττιάριος ποταμοῦ ἐκβολὰς, ὅστις ἐξίησιν ἐν τῷ τῶν Σινῶν κόλπῳ, στάδιοι ‚ ασνʹ. Ἀπὸ δὲ τοῦ Κοττιάριος ποταμοῦ ἐκδέχεται Καττίγαρα, ὅρμος μὲν Σινῶν ὑπάρχων, ὅριον δὲ τῆς ἐγνωσμένης καὶ οἰκουμένης γῆς τῶν πρὸς τῇ μεσημβρίᾳ μερῶν. Τῶν δὲ σταδίων τοῦ περίπλου τούτου τὸν ἀριθμὸν οὐ ῥᾴδιον ἀναγράψαι. ἔσται δὲ μηδενὶ ἄλλῳ εὐμαρὲς [τὸν] ἐχόμενον περίπλουν [τὸν] μετὰ τὸν Σινῶν ὅρμον δηλῶσαι σαφῶς ἢ θείῳ τινὶ γνώστῃ, μήτε τὰ πρὸς τῇ μεσημβρίᾳ παρὰ τὴν ἄγνωστον διήκοντα γῆν σαφῆ καταστῆναι τοῖς ἀνθρώποις, μήτε τὴν παρὰ τὴν ἑῴαν μετὰ τοὺς Σίνας ἄγνωστον γῆν. Ἔστι δὲ τῶν Σινῶν τὸ μὲν μῆκος τὸ μέγιστον σταδίων ‚ γ· τὸ δὲ πλάτος τὸ μέγιστον σταδίων ‚‚ α ‚ ζσνʹ.

1 47 Ἔχει δὲ ἔθνη ἤτοι σατραπείας εʹ, πόλεις δὲ καὶ κώμας ἐπισήμους ζʹ, ὄρος ἐπίσημον αʹ, ποταμοὺς ἐπισήμους δʹ, κόλπους ἐπισήμους (τόν τε Θηριώδη καὶ τὸν τῶν Σινῶν) βʹ, ἀκρωτήρια ἐπίσημα βʹ. [Ὁμοῦ πόλεις καὶ κῶμαι τῆς ἀνατολικῆς γῆς φξʹ.] Οἱ πάντες ἀπὸ τοῦ ἐν τῷ Μεγάλῳ κόλπῳ τῶν Σινῶν ὁρίου τοῦ ὄντος πρὸς τῇ Ἰνδικῇ τῇ ἐκτὸς Γάγγου ποταμοῦ ἐπὶ Κοττιάριος ποταμοῦ ἐκβολὰς τοῦ περίπλου παντὸς τῆς τῶν Σινῶν παραλίας στάδιοι ‚‚ α ‚ βχνʹ.

1 50T ΑΝΑΚΕΦΑΛΑΙΩΣΙΣ ΤΩΝ ΠΡΟΕΙΡΗΜΕΝΩΝ ΑΠΑΝΤΩΝ ΔΙΑΣΤΗΜΑΤΩΝ. Καὶ τὸν μὲν ὅλον περίπλουν καὶ περιγραφὴν τῆς παραθαλασσίου χώρας τοῦ τῆς Ἀσίας μέρους, τοῦ τε Ἀραβίου κόλπου καὶ τῆς Ἐρυθρᾶς θαλάσσης καὶ ἔτι τοῦ Περσικοῦ κόλπου καὶ τοῦ Ἰνδικοῦ πελάγους, τοῦτον ἔχειν τὸν τρόπον συμβέβηκε· τὸ δὲ σύμπαν ἐστὶ διάστημα, τῶν κόλπων ἁπάντων περιπλεομένων ἀπὸ τοῦ Αἰλανίτου μυχοῦ ἕως Κοττιάριος ποταμοῦ ἐκβολῶν τοῦ ἐν τῷ κόλπῳ Σινῶν τυγχάνοντος, σταδίων ‚‚‚ ι ‚‚ ε ‚ γσϙεʹ.

1 50 Τὰ δὲ κατὰ μέρος τῆς παραλίας τῶν ἀριστερῶν μερῶν ἔχει τὸν τρόπον τοῦτον. Ἀπὸ τοῦ Αἰλανίτου μυχοῦ, ὅθεν τὴν ἀρχὴν ἐποιησάμεθα τοῦ περίπλου [τῶν] τῆς Ἀσίας ἀριστερῶν μερῶν, μέχρι τῶν στενῶν τοῦ Ἀραβίου κόλπου στάδιοι ‚‚ α ‚ αχοʹ.

1 51 Ἀπὸ δὲ τῶν στενῶν τοῦ Ἀραβίου κόλπου τοῦ περίπλου τῆς τε Ἐρυθρᾶς θαλάσσης καὶ μέρους τοῦ Ἰνδικοῦ πελάγους στάδιοι ‚‚ β ‚ αφλʹ. Ἀπὸ δὲ τοῦ στόματος τοῦ Περσικοῦ κόλπου μέχρι τοῦ αὐτοῦ πάλιν στόματος, τοῦ περίπλου παντὸς τοῦ Περσικοῦ κόλπου [στάδιοι ‚‚ α ‚ ϛψϙʹ. Ἀπὸ δὲ τοῦ Περσικοῦ κόλπου] μέχρι τῶν ὅρων τῆς τῶν Καρμανῶν παραλίας στάδιοι ‚ εϡνʹ. Ἀπὸ δὲ τῶν προειρημένων τῆς Καρμανίας ὅρων μέχρι Ῥίζανα πόλεως τῆς τῶν Γεδρωσίων παραλίας στάδιοι ‚ γωνʹ. Ἀπὸ δὲ τῶν προρρηθέντων ὅρων τῆς Γεδρωσίας καὶ ἔτι τοῦ πρώτου καὶ δυσμικωτάτου στόματος τοῦ Ἰνδοῦ ποταμοῦ τοῦ λεγομένου Σάγαπα, μέχρι τοῦ πέμπτου στόματος τοῦ Γάγγου ποταμοῦ, ὃ καλεῖται Ἀντιβολὴ, τῆς παραλίας τῆς ἐντὸς Γάγγου ποταμοῦ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἰνδικῆς στάδιοι „ γ ͵ εχϙε′. Ἀπὸ δὲ τοῦ πέμπτου στόματος τοῦ Γάγγου ποταμοῦ, ὃ καλεῖται Ἀντιβολὴ, μέχρι τῶν ὅρων τῶν πρὸς τοὺς Σίνας, οἵτινες ἐν τῷ μεσαιτάτῳ τοῦ καλουμένου Μεγάλου κόλπου τυγχάνουσι, τῆς ἐκτὸς Γάγγου ποταμοῦ Ἰνδικῆς στάδιοι „ δ ͵ ετν′. Ἀπὸ δὲ τοῦ ἐν τῷ Μεγάλῳ κόλπῳ τῶν Σινῶν ὁρίου ἐπὶ Κοττιάριος ποταμοῦ ἐκβολὰς τῆς τῶν Σινῶν παραλίας στάδιοι „ α ͵ βχν′. Οἱ πάντες ἀθροίζονται τοῦ προειρημένου περίπλου παντὸς τῶν ἀριστερῶν τῆς Ἀσίας μερῶν ἀπὸ τοῦ Αἰλανίτου μυχοῦ μέχρι τοῦ Σινῶν ἔθνους καὶ τῶν ἐκβολῶν τοῦ Κοττιάριος ποταμοῦ στάδιοι „„ ι „ ε ͵ γσϙε′. Τέλος τοίνυν ἐνθάδε τοῦ πρώτου βιβλίου ποιησόμεθα, παντὸς μὲν τοῦ Ἀραβίου κόλπου, πάσης δὲ τῆς Ἐρυθρᾶς θαλάσσης, οὐ μὴν ἀλλὰ καὶ τοῦ Ἰνδικοῦ πελάγους τῶν τε δεξιῶν μερῶν, ἔτι μὴν καὶ τῶν ἀριστερῶν, ὅσα τῇ τῶν ἀνθρώπων ἐπιμελείᾳ καὶ φιλομαθείᾳ γέγονεν ἐφικτὰ, μέχρι τῆς ἀγνώστου γῆς καθ’ ἑκατέρας τὰς ἠπείρους, τῆς τε ἑῴας καὶ τῆς μεσημβρινῆς, τὸν περίπλουν ἀναγράψαντες.

1 52 [13N] Ἀρξόμεθα δὲ τοῦ κατὰ τὸν δυτικὸν ὠκεανὸν περίπλου· τοῦτο γὰρ ἐν ἀρχῇ τοῦ βιβλίου πράξειν ὑπεσχόμεθα. Μαρκιανοῦ Ἡρακλεώτου τοῦ Πόντου Περίπλους τῆς ἔξω θαλάσσης ἑῴου καὶ ἑσπερίου, καὶ τῶν ἐν αὐτῇ μεγίστων νήσων. Τῶν εἰς β′ τὸ α′. [ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

2 T ] Τάδε ἔνεστιν ἐν τῷ β′ Μαρκιανοῦ περίπλῳ ἑῴου καὶ ἑσπερίου ὠκεανοῦ.

2 A Προοίμιον. Ἰβηρίας τῆς καὶ Ἱσπανίας τῶν παρὰ τὸν δυτικὸν καὶ ἀρκτῷον ὠκεανὸν αὐτῆς μερῶν περίπλους. Τὰ δὲ κατὰ μέρος οὕτως ἔχει. Βαιτικῆς τῶν ἀπὸ τῆς Κάλπης μερῶν μέχρι τῶν τῆς Λουσιτανίας ὅρων περίπλους. Λουσιτανίας περίπλους. Ταρρακωνησίας περίπλους. Τῆς καλουμένης Κελτογαλατίας περίπλους. Τὰ δὲ κατὰ μέρος οὕτως ἔχει. Ἀκυτανίας περίπλους. Λουγδουνησίας περίπλους. Βελγικῆς σὺν Γερμανίᾳ τῇ ἄνω καὶ [τῇ] κάτω περίπλους. Γερμανίας [τῆς] μεγάλης περίπλους. Σαρματίας τῆς ἐν Εὐρώπῃ περίπλους. Περὶ τῶν Πρεττανικῶν νήσων. Ἰουερνίας νήσου Πρεττανικῆς περίπλους. [Ἀλβίωνος νήσου Πρεττανικῆς περίπλους.] Τῶν κατὰ τὴν Λιβύην μερῶν τῶν παρὰ τὸν δυτικὸν καὶ μεσημβρινὸν ὠκεανὸν μέχρι τῆς Αἰθιοπίας περίπλους. Τὰ δὲ κατὰ μέρος οὕτως ἔχει. Μαυριτανίας Τιγγιτανῆς περίπλους. Λιβύης τῆς ἐντὸς περίπλους. Περὶ τῶν ἀπὸ Ῥώμης πρὸς τὰς ἐπισήμους τῆς οἰκουμένης πόλεις διαστάσεων. [ΠΡΟΟΙΜΙΟΝ.

2 P ] Τὸ δεύτερον βιβλίον περιέξει τὸν ἀπὸ τοῦ Ἡρακλείου πορθμοῦ περίπλουν πάντα, τὸν παρὰ τῷ δυτικῷ τε καὶ ἀρκτῴῳ ὠκεανῷ μέχρι τῶν βορειοτάτων, καὶ ἔτι γε τῶν μεσημβρινῶν μερῶν, ἕως τῆς ἠγνοημένης ἑκατέρων τῶν ἠπείρων γῆς.

2 1 Ἔσται δὲ οὗτος τῶν μὲν δεξιῶν μερῶν παρὰ τὴν Ἰβηρίαν, ἥτις καὶ Ἱσπανία καλεῖται, τῶν παρὰ τὸν ὠκεανὸν κειμένων αὐτῆς τόπων, καὶ ἔτι παρὰ τὴν Ἀκυτανίαν καὶ τὴν Λουγδουνησίαν καὶ Βελγικὴν Γερμανίαν τε τὴν μεγάλην μέχρι τῆς ἐν τῇ Εὐρώπῃ Σαρματίας, μεθ’ ἣν ἡ πρὸς τοῖς ἄρκτοις ἄγνωστος ἐκδέχεται γῆ· πρὸς δὲ τούτοις καὶ τῶν δύο νήσων τῶν ἐν τῷ ἀρκτῴῳ κειμένων ὠκεανῷ, ἃς κοινῶς μὲν Πρεττανικὰς καλοῦσι, λέγεται δὲ αὐτῶν ἡ μὲν Ἰουερνία, ἡ δὲ Ἀλβίων, τῶν δὲ ἀριστερῶν μερῶν παρὰ τὴν Λιβύην καὶ τὸν ὠκεανὸν τὸν δυτικὸν καὶ μεσημβρινὸν, καὶ τῶν προσεχῶν τούτοις τόπων μέχρι τοῦ λεγομένου Ὑποδρόμου Αἰθιοπικοῦ, ἔνθα τὸν πρὸς τὴν μεσημβρίαν ἀναχεόμενον ὠκεανὸν τέλος ἔχειν συνέστηκε, τῆς ἀγνώστου λοιπὸν ἐκδεχομένης γῆς. Τῆς μὲν γὰρ ἐντὸς Ἡρακλείων στηλῶν ἁπάσης θαλάσσης, ὥσπερ καὶ προειρήκαμεν, ἀκριβῆ τὸν περίπλουν (ὥς γε οἰόμεθα) πεποιήμεθα ἐν ταῖς ἐπιτομαῖς τῶν ἕνδεκα βιβλίων Ἀρτεμιδώρου τοῦ Ἐφεσίου γεωγράφου, ὃν νομίζομεν τῆς καθ’ ἡμᾶς θαλάσσης ἐπιμελέστατον ἐν τοῖς τῆς γεωγραφίας τὸν περίπλουν πεποιῆσθαι· τῆς δὲ ἔξω θαλάσσης, ἥτις ὠκεανὸς παρὰ τῶν πλείστων καλεῖται, εἰ καὶ μετρίως τινῶν μερῶν ὁ προειρημένος ἐμνημόνευσεν Ἀρτεμίδωρος, ἀλλ’ ὅμως τὸν ἀκριβέστατον ταύτης περίπλουν ἐκ τῆς τοῦ θειοτάτου Πτολεμαίου γεωγραφίας καὶ προσέτιγε τοῦ Πρωταγόρου καὶ ἑτέρων παλαιῶν

ἀνδρῶν ἐξελόντες, τοῦ μὲν Ἀραβίου κόλπου καὶ τῆς Ἐρυθρᾶς θαλάσσης ἑκατέρων τῶν ἠπείρων καὶ ἔτι γε τοῦ Ἰνδικοῦ πελάγους παντὸς μέχρι τῆς ἑῴας καὶ τῆς ἀγνώστου γῆς μετὰ τῆς ἐνδεχομένης ἀκολουθίας ἐν τῷ προτέρῳ βιβλίῳ διεξήλθομεν· νυνὶ δὲ τὰ περὶ τὸν ἑσπέριον ὠκεανὸν ἐπελευσόμεθα.

23 Ἀρχὴν τοίνυν ποιησόμεθα τοῦ περίπλου τῆς ἔξω θαλάσσης ἀπὸ τοῦ Ἡρακλείου πορθμοῦ. Οὗτος δὲ ὁ πορθμὸς διορίζει τὰς ἠπείρους ἑκατέρας, τήν τε Ἰβηρίαν, [ἣν] καὶ Ἱσπανίαν προσαγορεύουσι, μέρος τῆς Εὐρώπης ὑπάρχουσαν, καὶ τὴν καταντικρὺ ταύτης κειμένην Λιβύην. Ἐκπλέοντι γὰρ τὸν Ἡράκλειον πορθμὸν καὶ πρὸς τὸν ὠκεανὸν ἐπειγομένῳ, ἐν δεξιᾷ μὲν τῆς Ἱσπανίας ἐστὶν ἡ Βαιτικὴ τὸ ἔθνος, ἐν ἀριστερᾷ δὲ εἰσὶ τῆς Λιβύης αἱ Μαυριτανίαι καλούμεναι. Τὸ δὲ μεταξὺ τούτων [κατὰ τὴν ἐντὸς θάλασσαν πέλαγος καλεῖται] Ἰβηρικὸν (μέσον δὲ τῶν εἰρημένων ἐθνῶν κείμενον). Διεκπλεύσαντι δὲ τὸν Ἡράκλειον πορθμὸν καὶ τὸν ναὸν τῆς Ἥρας (οὗτος δὲ ἐν δεξιᾷ κατὰ τὸν ἔκπλουν τοῦ πορθμοῦ κεῖται) ἐκδέχεται μὲν ὁ ὠκεανὸς, ἀναπεπταμένος ἐφ’ ἑκατέρας τὰς ἠπείρους, τήν τε Ἰβηρίαν καὶ τὴν Λιβύην, καὶ ἔτι γε πρὸς τὰς δυσμὰς εἰς μέγεθος ἀπέραντον καὶ ἄγνωστον ἐκτεινόμενος. Πρώτη δὲ ἡ νῆσος ἐν δεξιᾷ τὰ Γάδειρα κειμένη τυγχάνει, ἔνθα τὰς Ἡρακλείους στήλας εἶναι συνέστηκεν.

24 Οἱ μὲν γὰρ κατὰ Κάλπην τὸ ὄρος, ὅπερ ἐνδοτέρω τῶν Ἡρακλείων στενῶν κεῖται, τὰς στήλας εἶναί φασιν· οἱ δὲ κατὰ Γάδειρα τὴν νῆσον, ὥσπερ καὶ Ἀρτεμίδωρος ὁ γεωγράφος· κωλύει δὲ οὐδὲν ἀπὸ τῆς Κάλπης τοῦ ὄρους, ἣν οἱ πλεῖστοι στήλην Ἡρακλέους εἶναι βούλονται, τὸν περίπλουν τῆς Ἰβηρίας ποιήσασθαι. Ἔστι δὲ τῆς μὲν Βαιτικῆς καλουμένης ἐπαρχίας ἡ Κάλπη, τέλος δὲ τοῦ ἔθνους τούτου καὶ ὅριον ὁ Ἄνας ποταμὸς ὑπάρχει, κατὰ τὸν ἑσπέριον ὠκεανὸν τὰς ἐκβολὰς ποιούμενος, μεθ’ ὃν τὰ ἐχόμενα τῆς Ἱσπανίας ἔθνη κατὰ τὴν ἔξω θάλασσαν καὶ τὸν ὠκεανὸν κείμενα τυγχάνει. Ἔσται τοίνυν ὁ περίπλους τὴν ἀρχὴν ἔχων ἀπὸ τῆς ἐν Ἰβηρίᾳ Κάλπης καὶ [τούτου] τοῦ μέρους τῆς Βαιτικῆς ἐπαρχίας. Ἐπειδὴ δὲ πολλοὶ τῶν ταῦτα τὰ μέρη περιπλευσάντων περὶ τὸν τῶν σταδίων ἀριθμὸν διεσφάλησαν, καίτοιγε τὰς αἰτίας ἡμεῖς τῆς τοιαύτης πλάνης ἐν τῷ προτέρῳ βιβλίῳ διεξήλθομεν· ὅμως ἕνεκεν ἀκριβείας μείζονος διπλοῦν ὡς ἐπίπαν τὸν ἀριθμὸν τῶν σταδίων προσγράψαι προειλόμεθα, τό τε μὴ πλεῖον καὶ τὸ μὴ ἔλαττον κατὰ γραμμὴν ὑποτείνουσαν προστιθέντες, ὥστε τὸ μεταξὺ τῶν ἀριθμῶν ἑκατέρων ὥσπερ ὅρον τινὰ τῆς ἀληθείας κεῖσθαι τοῖς τὴν ἀκρίβειαν ἐπιζητοῦσι.

25 Τοῦτο γὰρ σαφῶς καὶ Πρωταγόρας ἐν τῇ γεωγραφίᾳ ποιήσας δοκεῖ τὴν περὶ τοὺς σταδίους πλάνην ἐκπεφευγέναι. ΙΒΗΡΙΑΣ ΤΗΣ ΚΑΙ ΙΣΠΑΝΙΑΣ ΠΕΡΙΠΛΟΥΣ ΤΩΝ ΠΑΡΑ ΤΟΝ ΩΚΕΑΝΟΝ ΑΥΤΗΣ ΜΕΡΩΝ.

26 Ἡ Ἰβηρία ἥτις καὶ Ἱσπανία καλεῖται, ἄρχεται μὲν ἀπὸ τῶν Πυρηναίων ὀρῶν, διήκει δὲ ἐπὶ πλεῖστον, ὑφ’ ἑκατέρων τῶν θαλασσῶν περιεχομένη, τοῦ τε ὠκεανοῦ τοῦ ἀρκτῴου καὶ δυτικοῦ καὶ τῆς καθ’ ἡμᾶς θαλάσσης. Ἡ δὲ Πυρήνη τὸ ὄρος ἀπὸ τῆς καθ’ ἡμᾶς ἀρξαμένη θαλάσσης διατείνει μέχρι τοῦ ἀρκτῴου ὠκεανοῦ. Καὶ τὸ μὲν ἓν πέρας τοῦ ὄρους εἰς τὴν ἡμετέραν ἔκκειται θάλασσαν, τὸ δὲ ἕτερον πέρας αὐτοῦ πρὸς τὰς ἄρκτους καὶ τὸν ἀρκτῷον ὠκεανὸν προβέβληται. Διαζεύγνυσι δὲ καὶ διαιρεῖ τὴν Ἰβηρίαν πρὸς τὴν ἐχομένην Κελτογαλατίαν, ὡς δοκεῖν εἶναι τὴν Ἰβηρίαν μεγίστην χερσόνησον κατὰ τὸν αὐχένα τῇ Πυρήνῃ προσεχομένην. Κυρτοῦται δέ πως τὸ ὄρος ὡς ἐπὶ τὴν Ἱσπανίαν. Πρότερον μὲν οὖν ἡ Ἰβηρία διῄρητο ὑπὸ Ῥωμαίων εἰς ἐπαρχίας δύο, νυνὶ δὲ εἰς τρεῖς, εἰς Ἱσπανίαν Βαιτικὴν καὶ εἰς Ἱσπανίαν Λουσιτανίαν καὶ Ἱσπανίαν Ταρρακωνησίαν.

27 Τῆς μὲν Βαιτικῆς τὸ πλεῖστον πρὸ τῆς καθ’ ἡμᾶς κεῖται θαλάσσης τῶν Ἡρακλείων ἐντὸς στηλῶν, μέρος δέ τι παρὰ τὸν δυτικὸν ὠκεανόν. Τῶν δὲ λειπομένων ἐθνῶν δύο ἡ μὲν Λουσιτανία πᾶσα κατὰ τὸν δυτικὸν ὠκεανὸν τυγχάνει κειμένη, ἡ δὲ Ταρρακωνησία μέρει μὲν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πλείστῳ τῷ ἀρκτῴῳ ὠκεανῷ πρόσκειται, μέρει δέ τινι καὶ τῇ καθ’ ἡμᾶς θαλάσσῃ, ἐφ’ ἑκατέρας ἐκ τῆς μεσημβρίας διήκουσα τὰς θαλάσσας μέχρι τῶν Πυρηναίων ὀρῶν. Γράψομεν τοίνυν τὸν περίπλουν τῶν παρὰ τὸν ὠκεανὸν τῆς Ἰβηρίας μερῶν· τοῦτο γὰρ ποιήσειν ὑπεσχόμεθα.

ΒΑΙΤΙΚΗΣ ΠΕΡΙΠΛΟΥΣ ΤΩΝ ΑΠΟ ΤΗΣ ΚΑΛΠΗΣ ΜΕΡΩΝ ΜΕΧΡΙ ΤΩΝ ΤΗΣ ΛΟΥΣΙΤΑΝΙΑΣ ΟΡΩΝ.

2 8 Ἡ Βαιτικὴ Ἱσπανία περιορίζεται ἀπὸ μὲν ἄρκτων καὶ δυσμῶν Λουσιτανίᾳ καὶ μέρει τῆς Ταρρακωνησίας ἐπαρχίας, ἀπὸ δὲ ἀνατολῶν τῷ καλουμένῳ Βαλεαρικῷ πελάγει (τοῦτο δὲ συνῆπται τῇ Ἰβηρικῇ θαλάσσῃ), ἀπὸ δὲ μεσημβρίας κατὰ μὲν τὴν ἐκτὸς θάλασσαν καὶ τὸν Ἡράκλειον πορθμὸν τῷ δυτικῷ ὠκεανῷ, κατὰ δὲ τὴν ἐντὸς θάλασσαν τῷ Ἰβηρικῷ πελάγει. Καὶ ἡ μὲν ὅλη περιγραφὴ τοιαύτη, ὁ δὲ κατὰ μέρος περίπλους τοῦτον ἔχει τὸν τρόπον. Ἀπὸ Κάλπης τοῦ ὄρους καὶ στήλης, ἥτις ἐστὶν ἐν ἀρχῇ τῆς ἐντὸς θαλάσσης, ἐκπλέοντι ἐπὶ τὸν πορθμὸν καὶ τὸν ὠκεανὸν, δεξιὰν τὴν ἤπειρον Ἰβηρίας ἔχοντι, εἰς Καρτηίαν στάδιοι ν′.

2 9 Ἐνταῦθα παροικεῖ τὸ ἔθνος [τῶν] Βαστουλῶν τῶν καλουμένων Ποινῶν. Ἀπὸ δὲ Καρτηίας εἰς Βαρβήσολα στάδιοι ρ′. Ἀπὸ δὲ Βαρβησόλων εἰς Τρανσδοῦκτα στάδιοι οὐ πλεῖον σ′, οὐχ ἧττον κατὰ γραμμὴν ὑποτείνουσαν σταδίων ρμε′. Ἀπὸ δὲ Τρανσδούκτων εἰς Μενραλίαν στάδιοι οὐ πλεῖον ριε′, οὐχ ἧττον σταδίων ρκγ′. Ἀπὸ δὲ Μενραλίας εἰς Βελῶνα πόλιν στάδιοι οὐ πλεῖον ρμ′, οὐχ ἧττον σταδίων ρ′. Ἐντεῦθεν ἄρχεται [τὸ] τῶν Τουρδούλων ἔθνος. Ἀπὸ δὲ Βελῶνος πόλεως εἰς Βελῶνος ποταμοῦ ἐκβολὰς στάδιοι οὐ πλεῖον σε′, οὐχ ἧττον σταδίων ν′. Ἀπὸ δὲ Βελῶνος ποταμοῦ ἐκβολῶν ἐπὶ τὸ ἀκρωτήριον, ἐν ᾧ ὁ πορθμὸς καὶ ὁ ναὸς τῆς Ἥρας, στάδιοι σ′, στάδιοι ρν′. (Ἐντεῦθεν οἱ στάδιοι μόνοι παρακείσονται, καὶ ὁ μὲν πρότερος ἀριθμὸς τὸ πλεῖστον δηλώσει, ὁ δὲ ἑπόμενος τὸ ἧττον, ὥστε μὴ καθ’ ἕκαστον προγράφειν τὸ πλεῖον καὶ ἔλαττον.) Ἀπὸ δὲ τοῦ ἀκρωτηρίου ἐν ᾧ ὁ πορθμὸς καὶ ὁ ναὸς τῆς Ἥρας, πλέοντι τὸν ὠκεανὸν ὡς πρὸς τὰς ἄρκτους, καὶ ὁμοίως δεξιὰν μὲν τὴν ἤπειρον ἔχοντι, ἀριστερὰν δὲ τὸν δυτικὸν ὠκεανὸν, ἐκδέχεται Μενεσθέως λιμήν. Εἰσὶ δ’ ἐπ’ αὐτὸν στάδιοι σκε′, στάδιοι ρξ′. Κατὰ τούτους τοὺς τόπους κεῖται νῆσος ἐν τῇ ἐκτὸς θαλάσσῃ τὰ Γάδειρα, ἐν ᾗ καὶ πόλις ὁμώνυμος Γάδειρα. Ἔστι δὲ ἀπὸ τοῦ ἀκρωτηρίου, ἔνθα ὁ πορθμὸς, ἐπὶ τὰ Γάδειρα τὴν νῆσον στάδιοι σο′, στάδιοι σμ′. Ἀπὸ δὲ Μενεσθέως λιμένος εἰς τὴν κατὰ Ἄσταν ἀνάχυσιν στάδιοι σι′. Ἐντεῦθεν ἄρχονται παροικεῖν Τουρδητανοί. Ἀπὸ δὲ τῆς κατὰ Ἄσταν ἀναχύσεως ἐπὶ τὸ τοῦ Βαίτιος ποταμοῦ ἀνατολικώτερον στόμα στάδιοι τπε′, στάδιοι σπε′ Ἀπὸ δὲ τῶν ἐκβολῶν τοῦ Βαίτιος ποταμοῦ ἐπὶ τὰς πηγὰς τοῦ αὐτοῦ ποταμοῦ στάδιοι ͵γτν′, στάδιοι ͵βυ′. Ἀπὸ τοῦ ἀνατολικωτέρου στόματος τοῦ Βαίτιος ποταμοῦ ἐπὶ Ὀνόβα Αἰστουρίαν στάδιοι υκ′, στάδιοι τ′. Ἀπὸ δὲ Ὀνόβα Αἰστουρίας ἐπὶ τὰς τοῦ Ἄνα ποταμοῦ ἐκβολὰς στάδιοι σι′, στάδια ρν′. Ἀπὸ δὲ τῶν ἐκβολῶν τοῦ Ἄνα ποταμοῦ ἐπὶ τὰς πηγὰς τοῦ αὐτοῦ ποταμοῦ στάδιοι ͵βρμε′, στάδιοι ͵αφν′. Ἐνταῦθα πέραν ἔχει τῆς Βαιτικῆς Ἱσπανίας τὸ μέρος τὸ παρῆκον παρ’ ἑκατέρας τὰς θαλάσσας, τὰς περὶ τὸν Ἡράκλειον πορθμὸν τυγχανούσας, τήν τε καθ’ ἡμᾶς καὶ τὴν ἔξω, τουτέστι τὸν ὠκεανόν. Ἔστι δὲ τῆς Βαιτικῆς πάσης τὸ μῆκος ἀρχόμενον μὲν ἀπὸ τῶν ἐκβολῶν τοῦ Ἄνα ποταμοῦ, περαιούμενον δὲ ἕως τῶν πηγῶν τοῦ αὐτοῦ Ἄνα ποταμοῦ, ὡς εἶναι τοῦ μήκους κατὰ τὴν μείζονα γραμμὴν σταδίους ͵γψθ′.

2 10 Τὸ δὲ πλάτος τῆς Βαιτικῆς ἄρχεται μὲν ἀπὸ τῶν πηγῶν τοῦ αὐτοῦ ποταμοῦ, καταλήγει δὲ πρὸς μεσημβρίαν ὡς ἐπὶ τὸν προειρήμενον ναὸν τῆς Ἥρας ἤτοι Βελῶνα τὴν πόλιν ἢ Πόρτον μάγνον, ὡς εἶναι τοῦ πλάτους τὸ διάστημα κατὰ τὴν μείζονα γραμμὴν σταδίους ͵αρνη′. Ἔστι δὲ τῆς Βαιτικῆς ὁ περιορισμὸς τῆς μεσογείας σταδίων ͵ϛψθ′, σταδίων ͵ερμ′. Ἔχει δὲ ἔθνη ε′, πόλεις ἐπισήμους πε′, ὄρη ἐπίσημα γ′, ποταμοὺς ἐπισήμους ε′, ἀκρωτήρια ἐπίσημα β′, λιμένα ἐπίσημον α′. Οἱ πάντες τοῦ περίπλου τῆς μὲν Βαιτικῆς πάσης ἀθροίζονται στάδιοι οὐ πλεῖον ͵δτμε′, [οὐχ ἧττον σταδίων ** ]· τοῦ δὲ μέρους τῆς Βαιτικῆς, οὗ καὶ τὸν περίπλουν πεποιήμεθα, ἀπὸ Κάλπης

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τοῦ ὄρους καὶ στήλης μέχρι τῶν τοῦ Ἄνα ποταμοῦ ἐκβολῶν τῆς παρὰ τὸν ὠκεανὸν αὐτῆς παραλίας, στάδιοι οὐ πλεῖον ͵ βτπ′, οὐχ ἧττον σταδίων ͵ ασμε′.

2 12T ΛΟΥΣΙΤΑΝΙΑΣ ΠΕΡΙΠΛΟΥΣ. Ἡ Λουσιτανία τῶν Ἱσπανιῶν περιορίζεται ἀπὸ μὲν ἄρκτων τῇ Ταρρακωνησίᾳ Ἱσπανίᾳ παρὰ τὸ δυτικὸν μέρος τοῦ Δορίου ποταμοῦ, ἀπὸ δὲ τῶν ἀνατολῶν τῇ αὐτῇ Ταρρακωνησίᾳ, ἀπὸ δὲ δύσεως τῷ δυτικῷ ὠκεανῷ, ἀπὸ δὲ μεσημβρίας τῇ προειρημένῃ Βαιτικῇ, [ἥντινα προσκεῖσθαι εἴπομεν καὶ τῷ δυτικῷ ὠκεανῷ] καὶ τῇ καθ’ ἡμᾶς θαλάσσῃ.

2 12 Καὶ ἡ μὲν ὅλη περιγραφὴ τοῦτον ἔχει τὸν τρόπον· τὰ δὲ κατὰ μέρος οὕτως ἔχει. Ἀπὸ τῶν ἐκβολῶν τοῦ προειρημένου Ἄνα ποταμοῦ ἐπὶ Βάλσα στάδιοι τπ′, [στάδιοι ** ], καὶ ταῦτα ἐπὶ τὰ μέρη Τουρδητανοὶ παροικοῦσιν.

2 13 Ἀπὸ δὲ Βάλσων εἰς Ὀσσόνοβα στάδιοι τμ′, στάδιοι τ′. Ἀπὸ δὲ Ὀσσόνοβα ἐπὶ τὸ Ἱερὸν ἀκρωτήριον στάδιοι τξ′, στάδιοι σξ′. Τοῦτο ἐπὶ πολὺ (τὸ ἀκρωτήριον) εἰς τὸν ὠκεανὸν ἔκκειται, καὶ ἔστι τῶν σφόδρα ἐπισημοτάτων. Ἀπὸ δὲ τοῦ Ἱεροῦ ἀκρωτηρίου εἰς Καλίποδος ποταμοῦ ἐκβολὰς στάδιοι ͵ ατν′, στάδια ϡν′. Ἀπὸ δὲ Καλίποδος ποταμοῦ ἐκβολῶν εἰς Σάλακρα στάδιοι σλ′, στάδιοι σι′. Ἀπὸ δὲ Σαλάκρων εἰς Καιτοβρὶξ στάδιοι ρε′, στάδιοι ϙ′. Ἀπὸ δὲ Καιτοβρὶξ εἰς Βαρβάριον ἄκρον στάδιοι ρϙ′, στάδιοι ρξ′. Ἀπὸ δὲ Βαρβαρίου ἄκρου εἰς Ὀλιοσίπωνα στάδιοι τπ′, στάδιοι σν′. Ἀπὸ δὲ Ὀλιοσίπωνος ἐπὶ τὰς τοῦ Τάγου ποταμοῦ ἐκβολὰς στάδιοι ρνε′, [στάδιοι ** ]. Εἰσὶ δὲ ἐπὶ τὰς πηγὰς τοῦ αὐτοῦ ποταμοῦ [στάδιοι ** ]. Ἀπὸ δὲ τῶν ἐκβολῶν τοῦ Τάγου ποταμοῦ ἐπὶ Σελήνης ὄρος, ἄκρον, εἰσὶ στάδιοι ρν′, στάδιοι ρκ′. Ἐνταῦθα παράκειται [νῆσος] Λάνοβρις καλουμένη· εἰσὶ δὲ ἐπ’ αὐτὴν ἀπὸ τοῦ τῆς Σελήνης ἀκρωτηρίου στάδιοι ϡμ′, στάδιοι χο′. Ἀπὸ δὲ τοῦ Ἱεροῦ ἀκρωτηρίου εἰσὶν ἐπ’ αὐτὴν στάδιοι αφι′, στάδιοι ͵ αρλ′. Ἀπὸ δὲ Σελήνης ὄρους ἐπὶ Μόνδα ποταμοῦ ἐκβολὰς στάδιοι ρν′, στάδιοι ρκ′. Ἀπὸ δὲ Μόνδα ποταμοῦ εἰς Οὐάκου ποταμοῦ ἐκβολὰς στάδιοι τπ′, στάδιοι σοε′. Ἀπὸ δὲ Οὐάκου ποταμοῦ ἐκδέχονται αἱ τοῦ Δορίου ποταμοῦ ἐκβολαὶ, καθ’ ἃς τέλος ἔχειν τὴν Λουσιτανίαν Ἱσπανίαν συνέστηκεν. Ἀπὸ δὲ τῶν ἐκβολῶν τοῦ Δορίου ποταμοῦ ἐπὶ τὰς πηγὰς τοῦ αὐτοῦ ποταμοῦ στάδιοι ͵ ατο′. [Ἀπὸ δὲ τῶν ἐκβολῶν Οὐάκου ἐπὶ τὰς τοῦ Δορίου ποταμοῦ ἐκβολὰς στάδιοι ** , στάδιοι ** ]. Ἔστι δὲ τῆς Λουσιτανίας τὸ μῆκος ἀρχόμενον μὲν ἀπὸ τῆς δυτικῆς πλευρᾶς καὶ τοῦ Ἱεροῦ ἀκρωτηρίου, περαιούμενον δὲ πρὸς τὰς πηγὰς τοῦ Δορίου ποταμοῦ, ὡς εἶναι διὰ τῆς μεγίστης γραμμῆς τοῦ μήκους σταδίους ͵ γτλε′.

2 14 Τὸ δὲ πλάτος τῆς Λουσιτανίας ἄρχεται μὲν ἀπὸ θαλάσσης κατὰ τὴν ἀρκτῴαν πλευρὰν κατὰ τὰς ἐκβολὰς τοῦ Οὐάκου ποταμοῦ, καταλήγει δὲ ὡς πρὸς μεσημβρίαν εἰς Βάλσα τὴν πόλιν, ὡς εἶναι καὶ τοῦ πλάτους κατὰ τὴν μείζονα γραμμὴν σταδίους ͵ αψϙγ′. Ἔστι δὲ ὁ τῆς Λουσιτανίας ὁ τῆς μεσογείας περιορισμὸς σύμπας σταδίων ͵ δυ′, σταδίων ͵ δ′. Ἔχει δὲ ἔθνη δ′, πόλεις ἐπισήμους νς′, ὄρη ἐπίσημα ε′, ποταμοὺς ἐπισήμους ς′, ἀκρωτήρια ἐπίσημα β′. Οἱ πάντες ἀπὸ τῶν ἐκβολῶν τοῦ Ἄνα ποταμοῦ μέχρι τῶν ἐκβολῶν τοῦ Δορίου ποταμοῦ τοῦ περίπλου τῆς παραλίας Λουσιτανίας τῆς πρὸς τῷ ὠκεανῷ στάδιοι οὐ πλεῖον ͵ δρμ′, οὐχ ἧττον σταδίων ͵ γσξε′.

2 16T ΤΑΡΡΑΚΩΝΗΣΙΑΣ ΠΕΡΙΠΛΟΥΣ. Ἡ Ταρρακωνησία τῶν Ἱσπανιῶν περιορίζεται ἀπὸ μὲν ἄρκτων τῷ Κανταβρίῳ ὠκεανῷ· ἔστι δὲ οὗτος τῶν ἀρκτῴων μερῶν· ἀπὸ δὲ ἀνατολῶν θερινῶν τῇ Πυρήνῃ πάσῃ, ἀπὸ τοῦ Οἰάσσω τῆς Πυρήνης ἀκρωτηρίου μέχρι τοῦ ἑτέρου ἀκρωτηρίου αὐτῆς τοῦ κειμένου κατὰ τὴν ἡμετέραν θάλασσαν, ἐφ’ οὗ ἵδρυται τὸ ἱερὸν τῆς Ἀφροδίτης, [ἀπὸ δὲ ἀνατολῶν χειμερινῶν τῷ Βαλιαρικῷ πελάγει]· ἀπὸ δὲ μεσημβρίας τῇ τε προειρημένῃ Λουσιτανίᾳ καὶ [τῇ Βαιτικῇ τῇ ἐπικειμένῃ] τῇ καθ’ ἡμᾶς θαλάσσῃ· ἀπὸ δὲ δύσεως τῷ δυτικῷ ὠκεανῷ.

2 16 Καὶ ἡ μὲν ὅλη περιγραφὴ τοῦτον ἔχει τὸν τρόπον· [τὰ δὲ κατὰ μέρος οὕτως ἔχει]. Ἔστι δὲ τῆς Ταρρακωνησίας τὸ μῆκος ἀρχόμενον μὲν ἀπὸ τῆς δυτικῆς πλευρᾶς ἀπὸ τοῦ Νερίου

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀκρωτηρίου, περαιούμενον δὲ κατὰ τὸ ἀκρωτήριον τῆς Πυρήνης τὸ ἐν τῇ καθ’ ἡμᾶς θαλάσσῃ, ἔνθα τὸ ἱερὸν τῆς Ἀφροδίτης, ὡς εἶναι τῆς ἐπαρχίας τὸ μῆκος κατὰ τὴν διὰ μέσου τομὴν σταδίους ͵ ζσλʹ, τὸ δὲ πλάτος τῆς Ταρρακωνησίας [ἄρχεται μὲν κατὰ τὴν ἀρκτῴαν πλευρὰν ἀπὸ τοῦ Κανταβρίου ὠκεανοῦ καὶ τοῦ Πυρηναίου ὄρους, καταλήγει δὲ ὡς πρὸς μεσημβρίαν εἰς τὰ ἀρκτῷα μέρη τῆς Λουσιτανίας] καὶ τῆς Βαιτικῆς [καὶ εἰς Οὐρκὴν πόλιν τῆς Βαιτικῆς] ὡς εἶναι καὶ τοῦ πλάτους τὸ διάστημα κατὰ τὴν μείζονα γραμμὴν σταδίων ͵ δσνʹ.

2 17 Ἔστι δὲ ὁ κατὰ γῆν αὐτῆς περιορισμὸς σταδίων ͵ δφʹ, σταδίων ͵ γτʹ. Ἔχει δὲ ἔθνη νεʹ, πόλεις ἐπισήμους σογʹ, ὄρη ἐπίσημα εʹ, ποταμοὺς ἐπισήμους κγʹ, ἀκρωτήρια ἐπίσημα ηʹ, λιμένας ἐπισήμους βʹ. Καὶ ὁ μὲν τῆς Ταρρακωνησίας περίπλους τῶν πρὸς τῷ ὠκεανῷ κειμένων αὐτῆς μερῶν κατὰ τὴν δυτικὴν καὶ ἀρκτῴαν πλευρὰν εἴρηται· τὸ δὲ λειπόμενον αὐτῆς μέρος παρὰ τὸ Βαλιαρικὸν πέλαγος, ἀρχόμενον μὲν ἀπὸ τοῦ Πυρηναίου ὄρους καὶ τοῦ ἀκρωτηρίου αὐτοῦ, ἐφ’ οὗ τὸ [ἱερὸν τῆς] Ἀφροδίτης ἐγκεῖσθαι προειρήκαμεν, καταλῆγον δὲ εἰς Οὐρκὴν, μεθ’ ἣν ἐκδέχεται ἡ Βαιτικὴ ἐπαρχία, ἧστινος τὰ μέρη τὰ πρὸς τῷ Ἡρακλείῳ πορθμῷ καὶ τῷ δυτικῷ ὠκεανῷ ἐν ἀρχῇ διεξήλθομεν, [ἐν τῇ ἐπιτομῇ τῆς Ἀρτεμιδώρου γεωγραφίας ἤτοι περίπλου σαφῶς διεξήλθομεν].

2 18 Οἱ πάντες ἀπὸ τῶν τοῦ Δορίου ποταμοῦ ἐκβολῶν ἐπὶ τὸ ἀκρωτήριον τῆς Πυρήνης τὸ Οἰάσσω λεγόμενον τοῦ περίπλου τῆς παρὰ τὸν ὠκεανὸν παραλίας τῆς Ταρρακωνησίας εἰσὶ στάδιοι οὐ πλεῖον ͵͵ ατκζʹ, οὐκ ἔλαττον σταδίων ͵ ηιβʹ. Οἱ δὲ σύμπαντες ἀπὸ τοῦ ὄρους Κάλπης τοῦ πρὸς τῷ Ἡρακλείῳ πορθμῷ κειμένου μέχρι τοῦ Οἰάσσω ἀκρωτηρίου τῆς Πυρήνης τοῦ περίπλου παντὸς τῆς Ἰβηρίας τῆς παρὰ τὸν ὠκεανὸν κειμένης οὐ πλεῖον σταδίων ͵͵ α ͵ ζωμεʹ, οὐκ ἔλαττον σταδίων ͵ α ͵ γσπβʹ. Ὁ μὲν οὖν τῆς Ἰβηρίας περίπλους ὁ παρὰ τὸν ὠκεανὸν τὸν δυτικὸν καὶ τὸν ἀρκτῷον τυγχάνων ἀπὸ τῆς Κάλπης τοῦ ὄρους καὶ τοῦ Ἡρακλείου πορθμοῦ μέχρι τῆς Πυρήνης τοῦ ὄρους καὶ τοῦ πέρατος αὐτοῦ τοῦ ἀρκτῴου, τοῦ καλουμένου Οἰάσσω, τοῦτον ἔχει τὸν τρόπον· ἐπὶ δὲ τὰ ἑξῆς χωρήσομεν. ΚΕΛΤΟΓΑΛΑΤΙΑΣ ΠΕΡΙΠΛΟΥΣ.

2 19 Ἡ καλουμένη Κελτογαλατία διήκει μὲν ἐπὶ πλεῖστον καὶ κατὰ γῆν καὶ [κατὰ] θάλασσαν· διῄρηται δὲ εἰς ἐπαρχίας δʹ, Γαλλίαν Ἀκυτανίαν καὶ Γαλλίαν Λουγδουνησίαν καὶ Γαλλίαν Βελγικὴν καὶ [Γαλλίαν] Ναρβωνησίαν. Ἀλλ’ αἱ μὲν προειρημέναι τρεῖς ἐπαρχίαι προσοικοῦσι τῷ ὠκεανῷ πρὸς τὰς ἄρκτους ἐστραμμέναι, ἡ δὲ Ναρβωνησία ἐν τῇ καθ’ ἡμᾶς καὶ ἐντὸς κεῖται θαλάσσῃ πρὸς τὴν μεσημβρίαν ὁρῶσα. Λέξομεν τοίνυν τὸν περίπλουν, ἀκολούθως ἀπὸ τῆς Ἀκυτανίας ἀρξάμενοι τῶν παρὰ τὸν ὠκεανὸν τὸν ἀρκτῷον τῆς Κελτογαλατίας παροικούντων ἐθνῶν· τοῦτον γὰρ τὸν περίπλουν ἀναγράψειν ὑπεσχόμεθα· τῆς γὰρ Ναρβωνησίας τὸν περίπλουν ἐν τῇ ἐπιτομῇ τῆς Ἀρτεμιδώρου γεωγραφίας ἤτοι περίπλου σαφῶς διεξήλθομεν, εἰ καὶ ὁ προειρημένος Ἀρτεμίδωρος τὴν διαίρεσιν τῶν ἐν [τῇ Κελτογαλατίᾳ, ὡς καὶ τῶν ἐν τῇ] Ἰβηρίᾳ ἐπαρχιῶν οὐκ ἐποιήσατο. ΑΚΥΤΑΝΙΑΣ ΠΕΡΙΠΛΟΥΣ.

2 20 Ἡ Ἀκυτανία περιορίζεται ἀπὸ μὲν ἄρκτων μέρει τῆς ἐχομένης Λουγδουνησίας ἐπαρχίας καὶ τῷ μετ’ ἐκείνην ὠκεανῷ ἀρκτῴῳ, ἀπὸ δὲ ἀνατολῶν ὁμοίως μέρει τῆς Λουγδουνησίας κατὰ τὸν Λίγηρα ποταμὸν μέχρι τῶν πηγῶν αὐτοῦ, καὶ μέρει τῆς Ναρβωνησίας μέχρι τοῦ πρὸς τῇ Πυρήνῃ πέρατος, ἀπὸ δὲ δυσμῶν τῷ Ἀκυτανικῷ ὠκεανῷ, ἀπὸ δὲ μεσημβρίας μέρει τε τῆς Πυρήνης κατὰ τὸ Οἰάσσω ἀκρωτήριον τῷ πρὸς τὸν ὠκεανὸν νενευκότι, καὶ μέρει τῆς Ναρβωνησίας ἐπαρχίας ἀπὸ τῆς κεφαλῆς τοῦ Λίγηρος μέχρι τοῦ εἰρημένου πρὸς τῇ Πυρήνῃ πέρατος. Καὶ ἡ μὲν ὅλη περιγραφὴ τοῦ ἔθνους τοιαύτη, τὰ δὲ κατὰ μέρος τῆς παραλίας κατὰ τὸν Ἀκυτανικὸν ὠκεανὸν οὕτως ἔχει. Ἀπὸ τοῦ Οἰάσσω ἀκρωτηρίου τῆς Πυρήνης ἐκδέχονται Ἀτούριος ποταμοῦ ἐκβολαὶ, εἰσὶ δ’ ἐπ’ αὐτὰς οὐ πλείω σταδίων ͵ ασνʹ, οὐχ ἧττον σταδίων ψπεʹ.

2 21

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἀπὸ δὲ Ἀτούριος ἐκβολῶν εἰς Σιγνάτιος ποταμοῦ ἐκβολὰς στάδιοι φ′, [στάδιοι] υν′. Ἀπὸ δὲ Σιγνάτιος ποταμοῦ ἐκβολῶν εἰς Κουρίαννον ἀκρωτήριον εἰσὶ στάδιοι φ′, στάδιοι το′. Ἀπὸ δὲ Κουριάννου ἐπὶ Γαρούννα ποταμοῦ ἐκβολὰς μεγέθους ὄντος [σταδίων] ν′, στάδιοι χ′, [στάδιοι] υλ′. Ἀπὸ δὲ τῶν ἐκβολῶν τοῦ Γαρούννα ποταμοῦ εἰσὶν ἐπὶ τὰς πηγὰς αὐτοῦ στάδιοι ϡ′, στάδιοι χ′. Ἀναπλεύσαντι δὲ τῷ Γαρούννᾳ ποταμῷ κεῖται πόλις τῆς Ἀκυτανίας Βουρδίγαλα. Ἐνταῦθα παροικοῦσι Σάντονες, ὧν πόλις Μεδιολάνιον ἐπὶ θαλάσσῃ κειμένη παρὰ τὸν Γαρούνναν ποταμόν. Ἀπὸ δὲ Γαρούννα ποταμοῦ ἐκβολῶν ἐπὶ Σαντόνων ἄκρον στάδιοι υοε′, στάδιοι τκε′. Ἀπὸ δὲ Σαντόνων ἄκρου ἐπὶ Κανεντέλλου ποταμοῦ ἐκβολὰς στάδιοι φξ′, στάδιοι φν′. Ἀπὸ δὲ Κανεντέλλου ποταμοῦ ἐκβολῶν ἐπὶ Πικτόνιον ἄκρον στάδιοι σι′, στάδιοι ρν′. Ἀπὸ δὲ Πικτονίου ἄκρου ἐπὶ Σικὸρ λιμένα στάδιοι τ′, στάδιοι σϙ′. Ἀπὸ δὲ Σικὸρ λιμένος ἐπὶ Λίγηρος ποταμοῦ ἐκβολὰς μεγίστου τυγχάνοντος καὶ ὄντος μεγέθους [σταδίων * ], στάδιοι ρπε′, στάδιοι ρνε′. Παροικοῦσι δὲ τῷ ποταμῷ Σαμνῖται τὸ ἔθνος. Ἔστι δὲ τῆς Ἀκυτανίας τὸ μῆκος ἀρχόμενον μὲν ἀπὸ τῶν τοῦ Ἀτούριος ποταμοῦ ἐκβολῶν, περαιούμενον δὲ εἰς Αὐαρικὸν πόλιν, ὡς εἶναι κατὰ τὴν μεγίστην γραμμὴν σταδίους ͵αυη′.

2 22 Τὸ δὲ πλάτος τῆς Ἀκυτανίας ἄρχεται μὲν ἀπὸ τοῦ πρὸς τῇ Πυρήνῃ πέρατος, καταλήγει δὲ μέχρι τῆς πρὸς τὴν μεσημβρίαν ἐπιστροφῆς τοῦ Λίγηρος ποταμοῦ, ὡς γίνεσθαι σταδίους βσν′. Ἔστι δὲ ὁ τῆς μεσογείας αὐτῆς περιορισμὸς οὐ πλεῖον σταδίων ͵δψο′, οὐχ ἧττον ͵γτο′. Ἔχει δὲ ἔθνη ις′, πόλεις ἐπισήμους ις′, ποταμοὺς ἐπισήμους ε′, ἀκρωτήρια ἐπίσημα δ′, λιμένα ἐπίσημον α′. Οἱ πάντες ἀπὸ τοῦ Οἰάσσω τοῦ τῆς Πυρήνης ἀκρωτηρίου μέχρι τῶν τοῦ Λίγηρος ποταμοῦ ἐκβολῶν τοῦ περίπλου τῆς παραλίας Ἀκυτανίας εἰσὶν οὐ πλείους σταδίων δω′, οὐχ ἧττον σταδίων ͵γφκε′.

2 24T ΛΟΥΓΔΟΥΝΗΣΙΑΣ ΠΕΡΙΠΛΟΥΣ. Ἡ Λουγδουνησία Γαλλία περιορίζεται ἀπὸ μὲν ἄρκτων τῷ Πρεττανικῷ ὠκεανῷ, ἀπὸ δὲ ἀνατολῶν τῇ Βελγικῇ ἐπαρχίᾳ κατὰ τὸν Σηκοάναν ποταμὸν, ἀπὸ δὲ δυσμῶν τῷ Ἀκυτανικῷ ὠκεανῷ, ἀπὸ δὲ μεσημβρίας μέρει τῆς Ναρβωνησίας ἐπαρχίας.

2 24 Καὶ ἡ μὲν ὅλη περιγραφὴ τοῦ ἔθνους τοῦτον ἔχει τὸν τρόπον· [τὰ δὲ κατὰ μέρος οὕτως ἔχει. ******* ]. Τὸ δὲ τῆς Λουγδουνησίας μῆκός [ἐστιν] ἀπὸ τοῦ Γαβαίου ἀκρωτηρίου ἀρχόμενον καὶ καταλῆγον κατὰ τὴν ἀνατολικὴν πλευρὰν, καθ’ ἣν συνῆπται τῇ Βελγικῇ κατὰ τὸν Σηκοάναν ποταμὸν, ὡς εἶναι τοῦ μήκους σταδίους ͵γτος′.

2 25 Τὸ δὲ πλάτος τῆς Λουγδουνησίας ἄρχεται μὲν ἀπὸ τῆς μεσημβρίας ἀπὸ Καβυλλίνου πόλεως, καταλήγει δὲ εἰς Σηκοάνα ποταμοῦ ἐκβολὰς, ὡς εἶναι καὶ τοῦ πλάτους σταδίους ͵γπ′. Ἔστι δὲ ὁ κατὰ γῆν περίδρομος τῆς ἐπαρχίας σταδίων ͵ζσϙ′, σταδίων ͵ςυκ′. Ἔχει δὲ ἔθνη κε′, πόλεις ἐπισήμους κς′, ὄρος ἐπίσημον α′, ποταμοὺς ἐπισήμους δ′, ἀκρωτήριον ἐπίσημον α′, λιμένας ἐπισήμους γ′. Οἱ πάντες ἀπὸ τῶν ἐκβολῶν τοῦ Λίγηρος ποταμοῦ μέχρι τῶν ἐκβολῶν τοῦ Σηκοάνα ποταμοῦ τοῦ περίπλου τῆς παραλίας Λουγδουνησίας στάδιοι ͵γτο′, στάδιοι ͵γξε′.

2 27T ΒΕΛΓΙΚΗΣ ΣΥΝ ΓΕΡΜΑΝΙΑι ΤΗι ΑΝΩ ΚΛΙ ΤΗι ΚΑΤΩ ΠΕΡΙΠΛΟΥΣ. Ἡ Βελγικὴ σὺν ταῖς δύο Γερμανίαις περιορίζεται ἀπὸ μὲν ἄρκτων τῷ ἀρκτῴῳ ὠκεανῷ τῷ παρὰ τὴν Πρεττανίαν διήκοντι, ἀπὸ δὲ ἀνατολῶν τῷ Ῥήνῳ ποταμῷ, παρὰ τὴν μεγάλην Γερμανίαν ἕως τῆς κεφαλῆς τοῦ ποταμοῦ, καὶ ἔτι τῷ ἀπὸ τῆς πηγῆς αὐτοῦ ἐπὶ τὰς Ἄλπεις ὄρει, ὃ καλεῖται Ἀδούλας, ἀπὸ δὲ δύσεως τῇ Λουγδουνησίᾳ ἐπαρχίᾳ καὶ τῷ προειρημένῳ Σηκοάνᾳ ποταμῷ, ἀπὸ δὲ μεσημβρίας τῷ λοιπῷ μέρει τῆς Ναρβωνησίας.

2 27 Καὶ ἡ μὲν ὅλη περιγραφὴ τοῦ ἔθνους τοιαύτη τίς ἐστι· [τὰ δὲ κατὰ μέρος οὕτως ἔχει·] Ἡ γὰρ ἀπὸ μὲν θαλάσσης μέχρι τοῦ Ὀβρίγκα ποταμοῦ καλεῖται Γερμανία ἡ κάτω, ἡ δὲ ἀπὸ τοῦ Ὀβρίγκα ποταμοῦ καλεῖται Γερμανία ἡ ἄνω.

2 29

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ἔστι δὲ τῆς Βελγικῆς σὺν ταῖς δύο Γερμανίαις τὸ μῆκος ἀπὸ τῶν τοῦ Φρούδιος ποταμοῦ ἐκβολῶν ἀρχόμενον, καὶ περαιούμενον πρὸς ἀνατολὰς τῷ Ῥήνῳ ποταμῷ τῷ παρὰ τὴν μεγάλην Γερμανίαν ἕως τῆς κεφαλῆς τοῦ ποταμοῦ, ὡς εἶναι τοῦ μήκους σταδίους ͵βχπε′. Τὸ δὲ πλάτος αὐτῆς ἄρχεται μὲν ἀπὸ τοῦ Ἀδούλα ὄρους καὶ τοῦ κοινοῦ πέρατος τῶν Ἄλπεων, καταλήγει δὲ εἰς τὸ δυσμικὸν τοῦ Ῥήνου ποταμοῦ στόμα, ὡς γίνεσθαι τοῦ πλάτους σταδίους ͵δτοε′. Ἔστι δὲ τῆς Βελγικῆς [σὺν ταῖς δύο Γερμανίαις] ὁ πᾶς τῆς ἐπαρχίας κατὰ γῆν περιορισμὸς σταδίων „α ͵ερξ′, σταδίων „α ͵βτ′. Ἔχει δὲ ἡ Βελγικὴ σὺν ταῖς Γερμανίαις ἔθνη κδ′, πόλεις ἐπισήμους λη′, ὄρη ἐπίσημα β′, ποταμοὺς ἐπισήμους ζ′, ἀκρωτήριον ἐπίσημον α′. Οἱ πάντες ἀπὸ τοῦ Σηκοάνα ποταμοῦ μέχρι τοῦ Ῥήνου ποταμοῦ, [τουτέστι] τοῦ λεγομένου δυσμικοῦ στόματος αὐτοῦ, τοῦ περίπλου παντὸς τῆς Βελγικῆς παραλίας σὺν Γερμανίᾳ τῇ ἄνω καὶ τῇ κάτω εἰσὶν οὐ πλείους σταδίων γων′, οὐχ ἧττον σταδίων ͵γρπ′.

2 31T ΓΕΡΜΑΝΙΑΣ ΜΕΓΑΛΗΣ ΠΕΡΙΠΛΟΥΣ. Ἡ Γερμανία ἡ μεγάλη περιορίζεται ἀπὸ μὲν ἄρκτων τῷ καλουμένῳ Γερμανικῷ ὠκεανῷ, ἀπὸ δὲ ἀνατολῶν τοῖς Σαρματικοῖς ὄρεσι, καὶ [μέρει Σαρματίας τῷ] μετὰ τὰ ὄρη [μέχρι] τῆς κεφαλῆς τοῦ Οὐϊστούλα ποταμοῦ καὶ ἔτι αὐτῷ τῷ ποταμῷ, ἀπὸ δὲ μεσημβρίας τοῦ Δανουβίου ποταμοῦ τῷ δυσμικῷ μέρει (ἔστι δὲ ὁ Δανούβιος ἀρχόμενος μὲν μεγέθους α′, εἶτα β′, καὶ ἑξῆς μεγέθους γ′, ἀμείβων καὶ τὸ ὄνομα καὶ Ἴστρος καλούμενος), ἀπὸ δὲ δύσεως τῷ Ῥήνῳ ποταμῷ.

2 31 Καὶ ἡ μὲν ὅλη περιγραφὴ τῆς χώρας οὕτως ἔχει· τὰ δὲ κατὰ μέρος λέξομεν. Ἀπὸ τῶν ἐκβολῶν τοῦ Ῥήνου ποταμοῦ, τουτέστιν ἀπὸ τοῦ λεγομένου δυσμικοῦ στόματος αὐτοῦ, εἰς Οὐίδρου ποταμοῦ ἐκβολὰς στάδιοι τπ′, [στάδιοι * ].

2 32 Ἀπὸ δὲ Οὐίδρου ποταμοῦ εἰς Μαραρμανὸν λιμένα στάδιοι τν′, στάδιοι σν′. Ἀπὸ δὲ Μαραρμανοῦ λιμένος εἰς Ἀμασίου ποταμοῦ ἐκβολὰς εἰσὶ στάδιοι χνε′, στάδιοι υο′. Ἀπὸ δὲ τῶν τοῦ Ἀμασίου ποταμοῦ ἐκβολῶν εἰς τὰς πηγὰς τοῦ αὐτοῦ ποταμοῦ στάδιοι ͵βτν′, στάδιοι ͵ατ′. Ἀπὸ δὲ Ἀμασίου ποταμοῦ ἐκβολῶν εἰς Οὐϊσούργιος ποταμοῦ ἐκβολὰς στάδιοι φξ′, [στάδιοι * ]. Ἀπὸ δὲ τῶν ἐκβολῶν τοῦ Οὐϊσούργιος ποταμοῦ ἐπὶ τὰς πηγὰς τοῦ αὐτοῦ ποταμοῦ στάδιοι ͵αψπ′, στάδιοι ͵αχ′. Ἀπὸ δὲ Οὐϊσούργιος ποταμοῦ εἰς Ἄλβιος ποταμοῦ ἐκβολὰς στάδιοι χκε′, [στάδιοι * ]. Ἀπὸ δὲ τῶν ἐκβολῶν τοῦ Ἄλβιος ποταμοῦ ἐπὶ τὰς πηγὰς τοῦ αὐτοῦ ποταμοῦ στάδιοι ͵ετο′, στάδιοι ͵γτ′. Κατὰ τοῦτο τὸ μέρος κεῖνται νῆσοι αἱ καλούμεναι Σαξόνων. Εἰσὶ δ’ ἐπ’ αὐτὰς ἀπὸ τῆς ἐκβολῆς τοῦ Ἄλβιος ποταμοῦ στάδιοι ψν′, [στάδιοι * ]. Ἀπὸ δὲ τοῦ Ἄλβιος ποταμοῦ ἐκδέχεται ἡ καλουμένη Κιμβρικὴ χερσόνησος μεγίστη τυγχάνουσα.

2 33 Καὶ εἰσὶν ἀπὸ τῶν τοῦ Ἄλβιος ποταμοῦ ἐκβολῶν ἐπὶ τὴν πρώτην ἐξοχὴν τῆς χερσονήσου τὴν μετὰ τὸν Ἄλβιν ποταμὸν κειμένην στάδιοι φο′, στάδιοι υ′. Ἀπὸ δὲ τῆς πρώτης ἐξοχῆς τῆς χερσονήσου ἐπὶ τὴν ἐφεξῆς κειμένην ἐξοχὴν τῆς αὐτῆς χερσονήσου στάδιοι ͵αχ′, στάδιοι ͵αρ′. Ἀπὸ δὲ τῆς δευτέρας ἐξοχῆς τῆς χερσονήσου εἰς τὴν ἐφεξῆς καὶ ἀρκτικωτάτην ἐξοχὴν τῆς αὐτῆς χερσονήσου στάδιοι ͵αυν′, στάδιοι ͵αρν′. Ἀπὸ δὲ τῆς ἀρκτικωτάτης ἐξοχῆς τῆς χερσονήσου εἰς τὴν μετὰ τὴν ἐπιστροφὴν αὐτῆς πρώτην ἐξοχὴν στάδιοι χν′, στάδιοι φν′. Ἀπὸ δὲ τῆς μετὰ τὴν ἐπιστροφὴν αὐτῆς πρώτης ἐξοχῆς εἰς τὸ ἀνατολικώτατον αὐτῆς στάδιοι ψκ′, στάδιοι φκ′. Ἀπὸ δὲ τοῦ ἀνατολικωτάτου αὐτῆς τῆς χερσονήσου ἐπὶ τὴν ὑπὸ [ταύτην] τὴν ἐξοχὴν αὐτῆς ἐφεξῆς στάδιοι ͵β, στάδιοι ͵αφ′. Ἀπὸ δὲ τῆς ὑπὸ τὴν ἐξοχὴν αὐτῆς ἐπὶ τὴν πρὸς ἀνατολὰς ἐπιστροφὴν αὐτῆς στάδιοι ͵αξ′, στάδιοι ψν′. Ἐνταῦθα τῆς Κιμβρικῆς χερσονήσου ὁ περίπλους πληροῦται, ἐπὶ πολὺ μὲν διηκούσης εἰς τὸν ὠκεανὸν, πλαγίας δὲ παραβεβλημένης ἐπὶ τὴν ἤπειρον τὴν πρὸς τὴν ἕω, ὡς ἀποτελεῖν καὶ κόλπον μέγιστον κατὰ τὸν Σύηβον ποταμὸν ἐπὶ τὴν ἐνδοτέρω αὐτοῦ παρεκτεινόμενον. Ἔστι δὲ ὁ πᾶς τῆς χερσονήσου περίπλους σταδίων ͵ην′, σταδίων ͵εϡο′. Κατοικεῖ δὲ τὸν μὲν αὐχένα τῆς χερσονήσου τὸ ἔθνος τῶν καλουμένων Ἀξόνων, αὐτὴν δὲ τὴν χερσόνησον ἔθνη πλεῖστα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

2 34 Ὑπὲρ δὲ τὴν χερσόνησον κεῖνται νῆσοι γʹ Ἀλοκίαι καλούμεναι· εἰσὶ δ’ ἐπ’ αὐτὰς ἀπὸ τῆς χερσονήσου στάδιοι φνʹ, στάδιοι φʹ. Ἀπ’ ἀνατολῶν δὲ τῆς χερσονήσου κεῖνται νῆσοι δʹ αἱ καλούμεναι Σκανδίαι, τρεῖς μὲν μικραὶ, ὧν εἰς τὴν μέσην ἀπὸ τῆς χερσονήσου εἰσὶ στάδιοι ͵ β, στάδιοι ͵ αψʹ, μία δὲ μεγίστη καὶ ἀνατολικωτάτη, καλεῖται δὲ ἰδίως καὶ αὐτὴ Σκανδία, κειμένη κατὰ τὰς ἐκβολὰς τοῦ Οὐϊστούλα ποταμοῦ, ἀφ’ ὧν εἰσὶν εἰς αὐτὴν στάδιοι ͵ αχʹ, στάδιοι ͵ ασʹ. Ἔστι δὲ ὁ πᾶς τῆς Σκανδίας περίπλους σταδίων ͵ βφʹ, σταδίων ͵ βʹ. Ἀπὸ δὲ τῆς πρὸς ἀνατολὰς ἐπιστροφῆς τῆς χερσονήσου ἐπὶ Συήβου ποταμοῦ ἐκβολὰς στάδιοι ͵ ασξʹ, [στάδιοι * ].

2 35 Ἀπὸ [δὲ] Συήβου ποταμοῦ ἐπὶ Οὐιάδου ποταμοῦ ἐκβολὰς στάδιοι ωνʹ, [στάδιοι * ]. Ἀπὸ δὲ Οὐιάδου ποταμοῦ ἐκβολῶν εἰς Οὐϊστούλα ποταμοῦ ἐκβολὰς εἰσὶ στάδιοι ψʹ, [στάδιοι * ]. Ἀπὸ δὲ τῶν ἐκβολῶν τοῦ ποταμοῦ τοῦ Οὐϊστούλα ἐπὶ τὴν κεφαλὴν τοῦ αὐτοῦ ποταμοῦ εἰσὶ στάδιοι ͵ β, στάδιοι ͵ αωνʹ. Ἔστι δὲ τῆς Γερμανίας τὸ μῆκος ἀρχόμενον μὲν ἀπὸ δύσεως καὶ Ἀσκιβουργίου πόλεως, περαιούμενον δὲ εἰς Οὐϊστούλα ποταμοῦ ἐκβολὰς, ὡς εἶναι τὸ πᾶν μῆκος τῆς ἐπαρχίας [σταδίων ** ], σταδίων ͵ δτνʹ.

2 36 Τὸ δὲ πλάτος αὐτῆς ἄρχεται μὲν ἀπὸ τῆς ἐκτροπῆς τοῦ πρὸς μεσημβρίας ῥέοντος ποταμοῦ, ὃς καλεῖται Ἀρραβὼν, καταλήγει δὲ πρὸς τὰς ἄρκτους κατὰ τὴν ἐπιμηκεστέραν γραμμὴν, τουτέστι κατὰ τὴν Κιμβρικὴν χερσόνησον καὶ τὴν ἀρκτικωτάτην αὐτῆς ἐξοχήν· ὡς εἶναι τοῦ πλάτους σταδίους ͵ ϛσνʹ. Ἔστι δὲ τῆς μεγάλης Γερμανίας ὁ κατὰ γῆν περιορισμὸς σταδίων „ α ͵ βτʹ, σταδίων „ α ͵ ασνʹ. Ἔχει δὲ ἐν αὐτῇ ἔθνη ξηʹ, πόλεις ἐπισήμους ϙδʹ, ὄρη ἐπίσημα ζʹ, ποταμοὺς ἐπισήμους ιδʹ, Κιμβρικὴν χερσόνησον, λιμένα ἐπίσημον, Ὀρκύνιον δρυμὸν, Γαβρήταν ὕλην. Οἱ πάντες ἀπὸ τοῦ Ῥήνου ποταμοῦ, τουτέστιν ἀπὸ τοῦ καλουμένου δυσμικοῦ στόματος αὐτοῦ μέχρι τῶν ἐκβολῶν τοῦ Οὐϊστούλα ποταμοῦ, τοῦ περίπλου τῆς παραλίας τῆς μεγάλης Γερμανίας στάδιοι „ α ͵ γυʹ, στάδιοι „ αλʹ.

2 38T ΣΑΡΜΑΤΙΑΣ ΤΗΣ ΕΝ ΕΥΡΩΠΗι ΠΕΡΙΠΛΟΥΣ. Ἡ ἐν τῇ Εὐρώπῃ Σαρματία περιορίζεται ἀπὸ μὲν ἄρκτων τῷ τε Σαρματικῷ ὠκεανῷ κατὰ τὸν Οὐενδικὸν κόλπον, καὶ μέρει τῆς ἀγνώστου γῆς, ἀπὸ δὲ ἀνατολῶν τῷ τε [ἀπὸ τοῦ Καρκινίτου ποταμοῦ] ἰσθμῷ καὶ τῇ Βύκῃ λίμνῃ, καὶ τῷ μέρει τῆς Μαιώτιδος λίμνης μέχρι τοῦ Ταναΐδος ποταμοῦ, καὶ ἐφεξῆς αὐτῷ [τῷ] Ταναΐδι ποταμῷ, καὶ ἔτι τῷ ἀπὸ τῶν πηγῶν τοῦ Ταναΐδος ποταμοῦ ἐπὶ τὴν ἄγνωστον γῆν [μεσημβρινῷ]· ἀπὸ δὲ δυσμῶν τῷ τε Οὐϊστούλᾳ ποταμῷ καὶ τῇ Γερμανίᾳ τῇ μεγάλῃ μετὰ τὰ Σαρματικὰ ὄρη, καὶ αὐτοῖς τοῖς ὄρεσιν· ἀπὸ δὲ μεσημβρίας τοῖς τε Ἰάζυξι τοῖς Μετανάσταις ἀπὸ τοῦ νοτίου τῶν Σαρματικῶν ὀρῶν πέρατος μέχρι τῆς ἀρχῆς τοῦ Καρπάθου ὄρους, καὶ ἔτι τῇ Δακίᾳ μέχρι τῶν Βορυσθένους τοῦ ποταμοῦ ἐκβολῶν, καὶ τῇ ἀπὸ τούτου τοῦ Εὐξείνου Πόντου παραλίῳ μέχρι τοῦ μυχοῦ τοῦ Καρκινίτου κόλπου.

2 38 Καὶ ἡ μὲν ὅλη περιγραφὴ τοιαύτη· τὰ δὲ κατὰ μέρος τῆς Σαρματίας κεφαλαιωδέστερον ἐτάξαμεν, μὴ προσθέντες τῶν σταδίων τὸν ἀριθμὸν τῷ τὸν ἀκριβῆ περίπλουν τοῦ ἀρκτικοῦ τούτου ὠκεανοῦ σχεδὸν ἄγνωστον τυγχάνειν, πλησιάζοντος μὲν κατὰ τὰς ἄρκτους τῇ ἀγνώστῳ γῇ, ἥτις ὑπέρκειται τῆς Μαιώτιδος λίμνης, μὴ ῥᾳδίως γνωριζομένη τῷ πλείστῳ μέρει τῶν ἀνθρώπων, μάλισθ’ ὅτε καὶ ὁ Πρωταγόρας παραλελοιπέναι τούτων τῶν σταδίων τὸν ἀριθμὸν δοκεῖ. Καὶ ἡ περιγραφὴ δὲ τῶν τόπων κατὰ μόνας τὰς ἐκβολὰς τῶν ποταμῶν ῥηθήσεται διὰ τὰς αὐτὰς αἰτίας. Μετὰ τὰς ἐκβολὰς τοῦ Οὐϊστούλα ποταμοῦ ἐκδέχονται Χρόνου τοῦ ποταμοῦ ἐκβολαί· ἀπὸ δὲ Χρόνου τοῦ ποταμοῦ ἑξῆς εἰσὶ Ῥουδῶνος ποταμοῦ ἐκβολαί.

2 39 Οὗτοι δὲ οἱ ποταμοὶ εἰς τὸν Οὐενδικὸν κόλπον ἐξίασιν, ὅστις ἀπὸ τοῦ Οὐϊστούλα ποταμοῦ ἄρχεται παρήκων ἐπὶ πλεῖστον. Ἀπὸ δὲ τοῦ Ῥουδῶνος ποταμοῦ ἑξῆς εἰσὶ Τουρούντου ποταμοῦ ἐκβολαί· ἀπὸ δὲ Τουρούντου ποταμοῦ ἐκδέχεται Χέσυνος ποταμὸς, καὶ αἱ τούτου ἐκβολαί. Μετὰ δὲ τὸν Χέσυνον ποταμὸν ὁ ἄγνωστος καὶ Ὑπερβόρειος ἑξῆς ἐστὶν ὠκεανὸς συνάπτων τῇ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὑπερβορείῳ καὶ ἀγνώστῳ γῇ. Παροικοῦσι τὸν Χέσυνον ποταμὸν οἱ Ἀγαθουρσοὶ τὸ ἔθνος τῆς ἐν Εὐρώπῃ Σαρματίας ὄντες. Καταφέρονται δὲ ὅ τε Χέσυνος ποταμὸς καὶ ὁ Τουρούντης ἐκ τῶν ὑπερκειμένων ὀρῶν, ἅτινα καλεῖται Ῥίπαια ὄρη, κατὰ τὴν μεσόγειον μεταξὺ τῆς Μαιώτιδος λίμνης καὶ τοῦ Σαρματικοῦ ὠκεανοῦ κείμενα. Ὁ δὲ Ῥούδων ποταμὸς ἐκ τοῦ Ἀλανοῦ ὄρους φέρεται· παροικεῖ δὲ τό τε ὄρος καὶ τὴν χώραν ταύτην ἐπὶ πολὺ διῆκον τὸ τῶν Ἀλανῶν Σαρμάτων ἔθνος, παρ' οἷς τοῦ Βορυσθένους ποταμοῦ τοῦ εἰς τὸν Πόντον ἐξιόντος αἱ πηγαὶ τυγχάνουσι. Τὴν δὲ περὶ τὸν Βορυσθένην χώραν παροικοῦσι μετὰ τοὺς Ἀλανοὺς οἱ καλούμενοι Χουνοὶ οἱ ἐν τῇ Εὐρώπῃ. Ἔστι δὲ τὸ μῆκος τῆς Σαρματίας σταδίων ͵ ζψʹ, τὸ δὲ πλάτος σταδίων ͵ ζχνʹ.

2 40 Ἔχει [δὲ] ἔθνη νςʹ, πόλεις ἐπισήμους νγʹ, ὄρη ἐπίσημα θʹ, ποταμοὺς ἐπισήμους δʹ, ἀκρωτήρια ἐπίσημα γ, λιμένας ἐπισήμους γʹ, κόλπους ἐπισήμους δʹ, τόν τε Οὐενδικὸν τὸν εἰρημένον κόλπον καὶ ἄλλους τρεῖς. Τῆς μὲν οὖν Εὐρώπης τῶν δεξιῶν μερῶν τὸν περίπλουν, ὥσπερ ὑπεσχόμεθα, μετὰ τῆς προσηκούσης ἐπιμελείας πεποιήμεθα· μεταβησόμεθα δὲ ἐπὶ τὰς Πρεττανικὰς νήσους. ΠΕΡΙ ΤΩΝ ΠΡΕΤΤΑΝΙΚΩΝ ΝΗΣΩΝ.

2 41 Αἱ Πρεττανικαὶ νῆσοι δύο εἰσὶν, ἥ τε καλουμένη Ἀλβίων καὶ ἡ Ἰουερνία. Ἀλλ' ἡ μὲν Ἀλβίων μείζων κατὰ πολὺ τυγχάνει· κεῖται δὲ καταντικρὺ τῆς Κελτογαλατίας, παρά τε τὴν Λουγδουνησίαν καὶ τὴν Βελγικὴν μέχρι τῆς μεγάλης Γερμανίας ἐκτεινομένη. Οὐ γάρ ἐστι συνεστραμμένη, καθάπερ αἱ ἄλλαι νῆσοι, ἀλλ' ὥσπερ διῃρημένη καὶ διεσπαρμένη, κατὰ πλείστου μέρους διήκει τοῦ ἀρκτῴου ὠκεανοῦ, δύο μάλιστα μακροτάτους ἰσθμοὺς ὥσπερ πόδας τινὰς ἔχουσα· ὧν ὁ μὲν μείζων [μέχρι τῆς Κιμβρικῆς Χερσονήσου], ὁ δὲ ἐλάττων μέχρι τῆς Ἀκυτανίας διήκει. Ἡ δὲ ἑτέρα νῆσος ἡ Ἰουερνία ὑπὲρ αὐτὴν κειμένη, δυτικωτέρα δὲ τυγχάνουσα, ἐλάσσων τέ ἐστι τῷ μεγέθει, καὶ τὴν ἴσην ἔχει θέσιν τῇ προειρημένῃ. Ταύτης τοίνυν τῆς προτέρας τὸν περίπλουν ἀναγράψομεν, εἶθ' οὕτως ἐπὶ τὴν μείζονα ἐλευσόμεθα. ΙΟΥΕΡΝΙΑΣ ΝΗΣΟΥ ΠΡΕΤΤΑΝΙΚΗΣ ΠΕΡΙΠΛΟΥΣ.

2 42 [9N] Ἡ Ἰουερνία νῆσος ἡ Πρεττανικὴ περιορίζεται ἀπὸ μὲν τῶν ἄρκτων τῷ ὑπερκειμένῳ καὶ καλουμένῳ Ὑπερβορείῳ ὠκεανῷ, ἀπὸ δὲ ἀνατολῶν τῷ ὠκεανῷ τῷ καλουμένῳ Ἰουερνικῷ, ἀπὸ δὲ δυσμῶν τῷ δυτικῷ ὠκεανῷ, ἀπὸ δὲ μεσημβρίας τῷ καλουμένῳ Οὐεργιουίῳ ὠκεανῷ. Καὶ ἡ μὲν ὅλη θέσις τῆς νήσου τοῦτον ἔχει τὸν τρόπον· [τὰ δὲ κατὰ μέρος οὕτως ἔχει]. **** Stephan. B.: Αἰβοῦδαι, νῆσοι πέντε τῆς Πρεττανικῆς, ὡς Μαρκιανὸς ἐν Περίπλῳ. Ἔστι δὲ τῆς Ἰουερνίας νήσου τῆς Πρεττανικῆς τὸ μὲν μῆκος μέγιστον ἀπὸ τοῦ Νοτίου ἀκρωτηρίου ἀρχόμενον, καὶ καταλῆγον ἐπὶ τὸ Ῥοβόγδιον ἄκρον, ὡς εἶναι τῆς νήσου τὸ μῆκος σταδίων ͵ βροʹ.

2 43 Τὸ δὲ πλάτος ἄρχεται μὲν ἀπὸ τοῦ Ἱεροῦ ἄκρου, περαιοῦται δὲ εἰς τὸ Ῥοβόγδιον ἄκρον, ὡς εἶναι τῆς νήσου τὸ πλάτος σταδίων ͵ αωλδʹ. Τὰ δὲ ἄκρα αὐτῆς ἀπὸ τῶν ὁριζόντων διέστηκε τὸν τρόπον τοῦτον· τὸ μὲν ἀρκτῷον αὐτῆς ἄκρον ἀπὸ τοῦ ἀρκτῴου ὁρίζοντος σταδίους ͵͵ α ͵ δσνʹ· τὸ δὲ δυτικὸν αὐτῆς ἄκρον [ἀπὸ τοῦ δυτικοῦ ὁρίζοντος σταδίους ** , τὸ δὲ νότιον ἄκρον] ἀπὸ τῆς ἰσημερίας σταδίους ͵͵ γ ͵ ητιζʹ· τὸ δὲ ἀνατολικὸν ἀπὸ τῆς ἀνατολῆς σταδίους ͵͵ δ τιζʹ. Ἔχει δὲ ἔθνη ιςʹ, πόλεις ἐπισήμους ιαʹ, ποταμοὺς ἐπισήμους ιεʹ, ἀκρωτήρια ἐπίσημα εʹ, νήσους ἐπισήμους ςʹ. Οἱ πάντες τοῦ περίπλου τῆς Ἰουερνίας οὐ πλεῖον σταδίων ͵ θπεʹ, οὐχ ἧττον σταδίων ͵ ζωμεʹ. ΑΛΒΙΩΝΟΣ ΝΗΣΟΥ ΠΡΕΤΤΑΝΙΚΗΣ ΠΕΡΙΠΛΟΥΣ.

2 44 Ἀκολούθως τοίνυν καὶ τῆς Ἀλβίωνος νήσου τὸν περίπλουν ἐκθήσομεν. Ἡ Ἀλβίων νῆσος ἡ Πρεττανικὴ περιορίζεται ἀπὸ μὲν ἄρκτων τῷ ὠκεανῷ τῷ καλουμένῳ Δουηκαληδονίῳ, ἀπὸ δὲ ἀνατολῶν τῷ Γερμανικῷ ὠκεανῷ, ἀπὸ δὲ δύσεως τῷ τε Ἰουερνικῷ ὠκεανῷ, μεθ' ὃν ἡ Ἰουερνία νῆσος, ἔτι μὴν καὶ τῷ Οὐεργιουίῳ ὠκεανῷ· ἀπὸ δὲ μεσημβρίας τῷ Πρεττανικῷ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὠκεανῷ καὶ ταῖς προειρημέναις τῆς Γαλλίας ἠπείροις καὶ ἔθνεσι. Καὶ ἡ μὲν ὅλη περιγραφὴ τῆς νήσου τοῦτον ἔχει τὸν τρόπον· [τὰ δὲ κατὰ μέρος οὕτως ἔχει·] *** St. B. Λινδόνιον, πόλις τῆς Βρεττανίας. Μαρκιανὸς ἐν Περίπλῳ αὐτῆς. Ἔστι δὲ τῆς Ἀλβίωνος νήσου τῆς Πρεττανικῆς τὸ μῆκος ἀρχόμενον μὲν ἀπὸ τοῦ δυτικοῦ ὁρίζοντος κατὰ τὸ Δαμνόνιον ἄκρον τὸ καὶ Ὄκριον καλούμενον, περαιούμενον δὲ ἕως Ταρουεδούνου τῆς καὶ Ὀρκάδος καλουμένης ἄκρας, ὡς εἶναι τοῦ μήκους τοῦ μεγίστου σταδίους ͵εσκε′.

2 45 Τὸ δὲ πλάτος αὐτῆς ἄρχεται μὲν κατὰ τὸ Δαμνόνιον ἄκρον τὸ καὶ Ὄκριον καλούμενον, καταλήγει δὲ εἰς τὴν τῶν Νεουάντων χερσόνησον καὶ τὸ ὁμώνυμον ἀκρωτήριον, ὡς εἶναι τοῦ πλάτους κατὰ τὴν μεγίστην γραμμὴν σταδίους ͵γπγ′. Ἔχει δὲ ἐν αὐτῇ ἔθνη λγ′, πόλεις ἐπισήμους νθ′, ποταμοὺς ἐπισήμους μ′, ἀκρωτήρια ἐπίσημα ιδ′, χερσόνησον ἐπίσημον α′, κόλπους ἐπισήμους ε′, λιμένας ἐπισήμους γ′. Οἱ πάντες τοῦ περίπλου παντὸς τῆς νήσου τῆς Ἀλβίωνος οὐ πλεῖον σταδίων ,, β ͵ηχδ′, οὐχ ἧττον σταδίων ,, βφκς′. Καὶ ὁ μὲν περίπλους τοῦ δυτικοῦ καὶ ἀρκτῴου ὠκεανοῦ τῶν παρὰ τὴν Εὐρώπην μερῶν καὶ τῶν ἐν αὐτῷ Πρεττανικῶν νήσων ἐνταῦθα τὸ τέλος ἔχει.

2 46 Ὥσπερ δὲ ἐν τῷ προτέρῳ βιβλίῳ τῶν μὲν παρὰ τὴν Λιβύην δεξιῶν μερῶν τοῦ Ἀραβίου κόλπου καὶ τῆς Ἐρυθρᾶς θαλάσσης καὶ τοῦ Ἰνδικοῦ ὠκεανοῦ τοῦ πρὸς τὴν μεσημβρίαν ὁρῶντος τὸν περίπλουν ἐπὶ κεφαλαίων ἐποιησάμεθα, σαφηνείας ἕνεκα διὰ μακροῦ τὸν τῶν σταδίων ἀριθμὸν ἀποδόντες, τῶν δὲ παρὰ τὴν Ἀσίαν ἀριστερῶν ἁπάντων μερῶν μέχρι Σινῶν τοῦ ἔθνους καὶ τῆς ἀγνώστου γῆς ἀκριβῆ τὸν περίπλουν ἀνεγράψαμεν, τῶν διαστημάτων ἁπάντων τοὺς σταδίους σημάναντες· οὕτω κἀνταῦθα τῶν δεξιῶν μερῶν τοῦ ὠκεανοῦ τοῦ παρὰ τὴν Εὐρώπην ὄντος ἀπὸ τῶν Ἡρακλείων στηλῶν μέχρι τῆς ἀγνώστου γῆς καὶ τοῦ παρ’ αὐτὴν περατουμένου Σαρματικοῦ ὠκεανοῦ καὶ προσέτιγε τῶν Πρεττανικῶν νήσων εἰς δύναμιν τὸν περίπλουν πεποιήμεθα, προσθέντες καὶ [τὸν] τῶν σταδίων ἀριθμόν· τῶν δὲ ἀριστερῶν παρὰ τὴν Λιβύην μερῶν τοῦ δυτικοῦ [καὶ μεσημβρινοῦ ὠκεανοῦ τὰς μὲν προσηγορίας τῶν πόλεων καὶ τῶν ἐπινείων δηλώσομεν, ἔτι μὴν καὶ τῶν κόλπων καὶ τῶν ἀκρωτηρίων καὶ τῶν νήσων τὰς ὀνομασίας σημανοῦμεν, διὰ μακροῦ δὲ τοῖς διαστήμασι τὸν ἀριθμὸν τῶν σταδίων προσθήσομεν.] *** St.

2 47 B. Μαυριτανίαι δύο, ἡ μὲν Τιγγιτανὴ, ἡ δὲ Καισαρησία, ὡς Μαρκιανὸς ἐν τῷ Περίπλῳ. Τίγγις, πόλις Μαυρουσίας.

2 48 Ὁ πολίτης ἔδει Τιγγίτης, ὡς Μεμφίτης, Ζελείτης· Μαρκιανὸς δὲ Μαυριτανίαν Τιγγιτανὴν λέγει. Τιγγιτανὸς οὖν τὸ ἐθνικὸν καὶ θηλυκὸν Τιγγιτανή. —«Εἰσὶ δὲ ἀπὸ Τίγγεως στάδιοι ὀγδοήκοντα.» Βάβα ι, πόλις Λιβύης.

2 49 [7N] Μαρκιανὸς ἐν Περίπλῳ αὐτῆς. ΠΕΡΙ ΤΩΝ ΑΠΟ ΡΩΜΗΣ ΠΡΟΣ ΤΑΣ ΕΠΙΣΗΜΟΥΣ ΤΗΣ ΟΙΚΟΥΜΕΝΗΣ ΠΟΛΕΙΣ ΔΙΑΣΤΑΣΕΩΝ. St. B. Ἄμισα, πόλις Γερμανίας. Μαρκιανὸς ἐν τοῖς ἀπὸ Ῥώμης ἐπὶ τὰς διασήμους πόλεις [διαστάσεσιν].

Eulogikon public reading copy · View original HTML at eulogikon.org